CHRISTIANI FRIDERICI MATTHAEI

VNIVERSITATIS CAESAREAE MOSQVENSIS
PROFESSORIS ET GYMNASIORVM EIVSDEM
VNIVERSITATIS RECTORIS

LECTIONES
MOSQVENSES

VOLVMEN I.



LIPSIAE

SVMTV E. B. SCHWICKERTI.

CIↃIↃCCLXXIX.

VIRO

ILLVSTRISSIMO, GENEROSISSIMO

ATQVE

DOCTISSIMO

GERHARDO FRIDERICO

A MÜLLER

ROSSICI IMPERII CONSILIARIO STATVS, GRAMMATOPHYLACII IMPERIALIS MOSQVENSIS PRAEFECTO, HISTORIOGRAPHO, ACADEMIAE PETROPOLITANAE SCIENTIARVM SOCIO ORDINARIO, SOCIETATVM REGIAE LONDINENSIS, HOLMIENSIS, LIPSIENSIS, HARLEMENSIS AC PETROPOLITANAE OECONOMICAE SOCIO HONORARIO, ACADEMIAE REGIAE PARISIENSIS AB EPISTOLIS MVTVIS ET LITERARIAE SOCIETATIS ROSSICAE VNIVERSITATIS CAESAREAE MOSQVENSIS SOCIO ORDINARIO ETC.

VIRO

ILLVSTRISSIMO, GENEROSISSIMO

ATQVE

DOCTISSIMO

GERHARDO FRIDERICO

A MÜLLER

ROSSICI IMPERII CONSILIARIO STATVS, GRAMMATOPHYLACII IMPERIALIS MOSQVENSIS PRAEFECTO, HISTORIOGRAPHO, ACADEMIAE PETROPOLITANAE SCIENTIARVM SOCIO ORDINARIO, SOCIETATVM REGIAE LONDINENSIS, HOLMIENSIS, LIPSIENSIS, HARLEMENSIS AC PETROPOLITANAE OECONOMICAE SOCIO HONORARIO, ACADEMIAE REGIAE PARISIENSIS AB EPISTOLIS MVTVIS ET LITERARIAE SOCIETATIS ROSSICAE VNIVERSITATIS CAESAREAE MOSQVENSIS SOCIO ORDINARIO ETC.

VIRO

VIRTVTE

PRVDENTIA, DOCTRINA

MAXIMISQVE

IN LITERAS MERITIS

LONGE CLARISSIMO

FAVTORI

ET

PATRONO SVO

PLVRIMVM COLENDO.

VIR ILLVSTRISSIME

ATQVE

GENEROSISSIME

FAVTOR ET PATRONE PLVRIMVM

COLENDE

Δεῦρ' ἄγ' ἰὼν, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
Νῆα κατάςησον, ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς.
Οὐ γάρ πω τις τῇδε παρήλασε νηῒ μελαίνῃ,
Πρίν γ' ἡμέων μελίγηρυν ἀπὸ ςομάτων ὄπ' ἀκοῦσαι.

His enim verbis merito nunc Te, *Vir Generosissime et multorum laudibus Inclite, per me alloquuntur illi clarissimi viri, qui ope ingenii et scriptis ad posterorum memoriam prodendis suum ab obliuione nomen vindi-*

vindicarunt, quorumque in hoc libello reliquiae et ſcripta, quae partim aliquamdiu incuria hominum latuerunt, partim vitiis variis adſperſa et contaminata fuerunt, nunc mea cura vel primum, vel incorruptius et nitidius, ex parte certe, vt opinor, prodeunt. Nam etſi quidem non, vt illae aiunt, πλείονα εἰδὼς *hinc abibis: Ipſe enim* πολλῶν ἀνθρώπων ἄστεα καὶ νόον ἔγνως: *attamen* τερψάμενος *ab horum virorum ſcriptis redibis. Si enim, vt Pindarus canit,*

Ὅσσα μὴ πεφίληκε
Ζεὺς, ἀτύζονται βοὰν
Πιερίδων ἀΐοντα·

dubium profecto eſſe non poteſt, quin is, quem omnes Muſae et Minerua ipſa, Iouis filiae, adamant, tantorum virorum vocem cum voluptate audiat, eorumque ſcripta libenter relegat. Ac ſi aliis quidem omnibus TUUM *erga hoc genus literarum ſtudium ignotum eſſet; (quod tamen propter ſummam nominis* TUI *apud plures gentes claritatem nullo modo eſſe poteſt:) mihi certe, in quo id multoties probaſti, quemque ideo ſaepius ſummis viris commendaſti, nec dubium nec obſcurum eſſe poteſt. Iam cum, vt quidem ſapientes docent, magnus inter omnes artes literasque ſit conſenſus et coniunctio, arctisque omnes inter ſe coniunctae conſtringantur vinculis, per ſe intelligitur, quanti ſummi theologi, philoſophi, poetae, oratores et hiſtorici, quorum ſcripta hic tra-*

tractantur, debeant fieri ab eo, quem merito omnes, qui quidem iuste et perite iudicant, principem ponunt inter omnes, qui antea de rebus Rossicis lectu digna posterorum memoriae prodiderunt. Quam autem veritati consentaneum sit hoc de Te Tuisque *erga historiam Rossicam meritis intelligentium iudicium, ex eo maxime apparet, quod aliam prorsus eamque et ad inueniendum verum et ad fidem faciendam multo expeditiorem atque tutiorem in tradendis rebus Rossicis viam elegisti, quam superiores omnes, qui ante* Te *in eodem negotio suum exercuerunt ingenium. Nam priores quidem partim in rebus leuioribus tempore et opera sunt abusi, partim in rebus grauioribus vel* αὐτοσχεδιάσαντες *scripserunt, vel, quae, vt ille ait,* ἐκ τῶν ἐπιτυχόντων ἀκουσμάτων *acceperant, literis consignarunt.* Tu *contra,* Vir Doctissime, *selectis maioris momenti et illustrioris argumenti rebus, ea, quae carptim de rebus Rossicis memoriae prodidisti, partim in itinere illo per Rossicum imperium ipse adeundo, partim ex epistolis virorum fide dignorum et* αὐτοπτῶν, *partim ex iis, quae per hoc dimidium seculum, quod in muneribus publicis huius imperii gloriosissime transegisti, praesens oculis hausisti, partim ex monumentis publicis, quae* Imperatricis Prudentissimae Tibique *maxime fauentis beneficio et consilio* Tuae *commendata sunt fidei, cognouisti, omniumque prudentum assensu aeternitati tradidisti. Accipe ergo hospitio* Tuo, Vir Doctissime ac Generosissime, *hos consuetudine et consortione* Tua *contubernales dignissimos, viros virtute, doctrina et nominis claritate* Tui *simillimos. Simul vero accipe et complectere fauore* Tuo *me quoque, maximarum virtutum* Tuarum *aestimato-*

rem aequissimum, meumque erga hoc genus litterarum studium, si quam inde ad alios vtilitatem peruenire censes, in posterum etiam iudicio Tuo grauissimo mihique longe exoptatissimo idoneis et aequis harum rerum iudicibus commenda.

VIR ILLVSTRISSIME

AC

GENEROSISSIME

ILLVSTRISSIMI AC GENEROSISSIMI

NOMINIS TVI

MOSQVAE

D. XXIX. AVGVST.

CIƆIƆCCLXXVII.

STVDIOSISSIMVS

CHR. FR. MATTHAEI.

LECTORIBVS BENEVOLIS

S. P. D.

CHRISTIANVS FRIDERICVS MATTHAEI.

Cum annis ſuperioribus in examinandis codicibus graecis bibliothecarum Moſquenſium verſarer, et, quid quisque codex contineret, in futuros philologorum vſus notarem, non poteram me abſtinere, quin interdum ab iſto conſilio paullulum diſcederem et ad alia, non multum diſſimilia, ſtudium et operam applicarem. Inde materia noui operis extitit, quod nunc ſub *Lectionum Moſquenſium* nomine in publicum prodit. Quod opuſculum cum totum, certe maximam

partem, ex codicibus, nunquam antea collatis, ſit collectum, per ſe intelligitur, duplicem fere eſſe poſſe eius vtilitatem. Aut enim ſuppeditabit emendationes et varietates ad ſcriptores iam editos, aut eiusmodi opuſcula proferet, quae adhuc ſub clauſtris in bibliothecarum tenebris latuerunt. Ac vt Lectores mente quodammodo praecipere poſſent, quale quantumque, quod nunc incepimus, opuſculum futurum ſit, hic in fine huius praefationis nomina auctorum adiicienda putaui, ad quorum ſcripta variae lectiones ex codicibus a me notabuntur. Ex ineditis autem potiſſimum publicabo, Specimina ex Anonymi Lexico et ex Gloſſario Cyrilli, Excerpta ex variis Catenis in N. et V. Teſtamentum, in quibus praecipue grammaticam, dogmaticam et hiſtoricam ſpectabo interpretationem, reiectis allegoriarum argutiis, declamationibus et orationis pigmentis, Acta Synodorum, Anonymi praecepta rhetorica, ex Longini libris potiſſimum hauſta, Variorum epiſtolas, aliquot Ioannis Xiphilini orationes, Michaelis Apoſtolii quaedam, Supplementa ad

Ammo-

Ammonium de differentiis vocum, Vlpiani Romani quaedam, Anonymi Chronologiam, Herodiani Grammatici non nulla, Theodori Studitae aliquot catecheses, denique Chrysostomi, Photii, Gregorii Palamae et Iosephi Bryennii quasdam orationes. Praeterea in animo habeo, variorum codicum specimina, aeri incisa, exhibere, eorum inprimis, qui vetustate prae ceteris sunt insignes, quorumque aetas certis indiciis constat, quorum, vt iam Schiada docuit, satis magnus numerus hic seruatur. Lectores autem Beneuolos humanissime rogo, vt ne vitio mihi vertant, si interdum editiones priores minusque probabiles in adornandis variis lectionibus adhibui. Satis quidem magna copia librorum graecorum pro facultatibus meis sum instructus, neque tamen omnes, quibus opus habui, coëmere potui, praesertim cum non nunquam bibliopolarum extraneorum negligentia spem meam in ea re fefellerit. Quibus autem ipse libris careo, eos hic plerumque in aliorum bibliothecis frustra quaero. Vt typographici errores diligentissime

emen-

emendentur, librarius ſe curaturum eſſe promiſit. Vbi tamen voluminibus prioribus poſt editionem examinatis in quibusdam erratum eſſe animaduertero: ea, quae non prorſus leuia videbuntur, in inſequentibus huius libri voluminibus ipſe notabo atque emendabo. Scripſi in Vniuerſitate Caeſarea Moſquenſi CIↃIↃCCLXXVII.

NOMINA

NOMINA AVCTORVM,

QVORVM SCRIPTA IN HOC LIBELLO EX CODICIBVS MANVSCRIPTIS EMENDABVNTVR.

AESCHINES ORATOR.
AESCHYLVS.
ALEXANDER TRALLIANVS.
ARATVS.
ARISTOPHANES.
ARISTOTELES.
ARISTIDES RHETOR.
ATHENAEVS.
CALLIMACHVS.
CLEOMEDES.
DEMOSTHENES.
DIOGENES LAERTIVS.
DIONYSIVS PERIEGETA.
EVRIPIDES.
EVSTATHII FABVLA.
GALENVS.
POETAE GNOMICI.
GREGORIVS NAZIANZENVS.

HER-

HERMOGENES.

HESIODVS eiusque ſcholiaſta.

HOMERVS eiusque ſcholiaſta.

IVSTINVS MARTYR.

LIBANII Orationes et Epiſtolae.

LYCOPHRON.

MOSCHOPVLVS.

NICANDER.

OPPIANVS.

ORIGENIS HEXAPLA.

ORPHEI ARGONAVTICA.

PAVSANIAS.

PINDARVS.

PLVTARCHI vitae et opuſc. moral.

SOPHOCLES.

STRABO.

SYNESIVS.

TESTAMENTVM vetus graecum.

TESTAMENTVM nouum latinum, verſionis vulgatae.

THEOCRITVS.

THOMAS MAGISTER.

THVCYDIDES.

INDEX

EORVM, QVAE IN HOC VOLVMINE CONTINENTVR.

5.)

I.

I.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἸΩΑΝΝΟΥ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ΧΡΥΣΟΣΤΟΜΟΥ λόγος εἰς τὸ, ὅτι τὸ ῥαθύμως προσιέναι τοῖς μυστηρίοις, κόλασιν ἀφόρητον ἔχει, κἂν ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο τολμήσωμεν. ἐλέχθη δὲ πρὸ έ ἡμερῶν τῆς Χριστοῦ γεννήσεως.

Εὐλόγησον Πάτερ!

Ἑορτὴ, ἀδελφοὶ, μέλλει προσελαύνειν, ἡ πασῶν τῶν ἑορτῶν σεμνοτάτη καὶ φρικωδεστάτη, ἣν οὐκ ἄν τις ἁμάρτοι μητρόπολιν πασῶν τῶν ἑορτῶν προσειπών. τίς δὲ ἐστιν αὕτη; ἡ κατὰ σάρκα τοῦ Χριστοῦ γέννησις. ἀπὸ γὰρ ταύτης τὰ θεοφάνια καὶ τὸ πάσχα τὸ ἱερὸν, καὶ ἡ ἀνάληψις καὶ ἡ πεντηκοστὴ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἔλαβον. εἰ γὰρ μὴ ἐτέχθη κατὰ σάρκα ὁ Χριστὸς, οὐκ ἂν ἐβαπτίσθη, ὅπερ ἐστι τὰ θεοφάνια· οὐκ ἂν ἐσταυρώθη καὶ ἀνέστη, ὅπερ ἐστι τὸ πάσχα· οὐκ ἂν τὸ πνεῦμα κατέπεμψεν, ὅπερ ἐστιν ἡ πεντηκοστή. ὥστε ἐντεῦθεν, ὥσπερ ἀπό τινος πηγῆς, ποταμοὶ διάφοροι ῥυέντες, αὗται ἐτέχθησαν ἡμῖν [1]) ἑορταί. οὐ κατὰ τοῦτο δὲ μόνον δικαία ταύτης ἂν εἴη τῆς προεδρίας ἀπολαύειν [2]) ἡμέρα· ἀλλ᾽ ὅτι τὸ ἐν αὐτῇ γενόμενον τῶν ἄλλων ἁπάντων πολὺ φρικωδέστερόν ἐστι. τὸ μὲν γὰρ ἄνθρωπον γενόμενον τὸν Χριστὸν ἀποθανεῖν, τῆς ἀκολουθίας λοιπὸν ἦν. εἰ γὰρ καὶ ἁμαρτίαν οὐκ ἐποίησεν, ἀλλὰ θνητὸν σῶμα [3]) ἀνέλαβε· καὶ ἦν μὲν καὶ τοῦτο θαυμαστόν· τὸ δὲ, θεὸν ὄντα, ἄνθρωπον θελῆσαι γενέσθαι καὶ ἀνασχέσθαι καταβῆναι τοσοῦτον, ὅσον οὐδὲ διάνοια δέξασθαι δύναται, τοῦτό ἐστιν τὸ φρικωδέστατον καὶ ἐκπλήξεως γέμον. ὃ δὴ καὶ Παῦλος θαυμάζων ἔλεγεν· καὶ ὁμολογουμένως μέγα ἐστι τὸ τῆς εὐσεβείας μυστήριον· ποῖον μέγα; θεὸς [4]) ἐφανερώθη ἐν σαρκί. καὶ

1) Malim αἱ ἑορταί.
2) Rursus malim ἡ ἡμέρα.
3) Quid, si legatur ὃν ἔλαβε?
4) Hic locus non admittit aliam lectionem. Nec enim ὃς aut ὃ, quod quidam ex libris scriptis laudant, huc quadrat. Equidem certe diligenter collatis omnibus Codd. Mosqq. reperi conuenire omnes cum vulgata in θεός. Addit praeterea Codex vnus hoc scholium: θεὸς γὰρ ὢν, καὶ θεοῦ υἱὸς, καὶ ἀόρατον ἔχων φύσιν, δῆλος πᾶσιν ἐνανθρωπήσας ἐγένετο.

καὶ πάλιν ἀλλαχοῦ· οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται ὁ θεὸς ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι χωρὶς ἁμαρτίας. διὰ τοῦτο μάλιστα ἀσπάζομαι τὴν ἡμέραν ταύτην καὶ φιλῶ καὶ τὸν ἔρωτα εἰς μέσον προτίθημι, ἵνα κοινωνοὺς ἡμᾶς ποιήσω τοῦ φίλτρου. διὰ τοῦτο δέομαι πάντων ὑμῶν καὶ ἀντιβολῶ, μετὰ πάσης σπουδῆς καὶ προθυμίας παραγενέσθαι τὴν οἰκίαν ἕκαστον κενώσαντα τὴν ἑαυτοῦ, ἵνα ἴδωμεν τὸν δεσπότην ἡμῶν ἐπὶ φάτνης κείμενον ἐσπαργανωμένον, τὸ φρικτὸν ἐκεῖνο καὶ παράδοξον θέαμα. ποία γὰρ ἡμῖν ἀπολογία; ποία συγγνώμη; ὅταν αὐτὸς μὲν ἐκ τῶν οὐρανῶν δι᾽ ἡμᾶς καταβαίνῃ, ἡμεῖς δὲ οὐδὲ ἐκ τῆς οἰκίας πρὸς αὐτὸν [5]) ἐρχόμεθα, ὅταν μάγοι μὲν ἄνθρωποι βάρβαροι καὶ ἀλλόφυλοι, ἐκ Περσίδος τρέχωσιν, ὥστε αὐτὸν ἰδεῖν ἐπὶ τῆς φάτνης κείμενον, σὺ δὲ μηδὲ μικρὸν διάστημα ὑπομένεις, ὥστε τῆς μακαρίας ταύτης ἀπολαῦσαι θεωρίας. καὶ γάρ, ἂν μετὰ πίστεως παραγενόμεθα [6]), πάντως αὐτὸν ὀψόμεθα ἐπὶ τῆς φάτνης κείμενον. ἡ γὰρ τράπεζα αὕτη τάξιν τῆς φάτνης πληροῖ. καὶ γὰρ ἐνταῦθα κείσεται τὸ σῶμα τὸ δεσποτικόν, οὐχὶ ἐσπαργανωμένον, καθάπερ τότε, ἀλλὰ πνεύματι πανταχόθεν ἁγίῳ περιστελλόμενον. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. οἱ μὲν οὖν μάγοι προσεκύνησαν μόνον· σὺ δέ, ἂν μετὰ καθαροῦ προσέλθῃς συνειδότος, καὶ λαβεῖν σοι αὐτῷ [7]) συγχωρήσωμεν καὶ ἀπελθεῖν οἴκαδε. πρόσιθι τοίνυν καὶ σὺ δῶρα προσάγων, μὴ τοιαῦτα, οἷα ἐκεῖνοι ἀλλὰ πολλῷ σεμνότερα. προσήνεγκαν ἐκεῖνοι χρυσόν· προσένεγκε σὺ σωφροσύνην καὶ ἀρετήν. προσήνεγκαν ἐκεῖνοι λιβανωτόν· προσένεγκε σὺ εὐχὰς καθαράς, τὰ θυμιάματα τὰ πνευματικά. προσήνεγκαν ἐκεῖνοι σμύρναν· προσένεγκε σὺ ταπεινοφροσύνην καὶ τεταπεινωμένην καρδίαν καὶ ἐλεημοσύνην. ἂν μετὰ τούτων προσέλθῃς τῶν δώρων, μετὰ ἀδείας ἀπολαύσῃ πολλῆς τῆς ἱερᾶς ταύτης τραπέζης. καὶ γὰρ ἐγὼ διὰ τοῦτο τούτους κινῶ τοὺς λόγους νῦν, ἐπειδὴ οἶδα, ὅτι πάντως πολλοὶ κατ᾽ ἐκείνην προσελεύσονται τὴν ἡμέραν, καὶ ἐπιπεσοῦνται τῇ πνευματικῇ ταύτῃ θυσίᾳ. ἵνα οὖν μὴ ἐπὶ κακῷ, μηδὲ ἐπὶ κρίματι τῆς ἡμετέρας ψυχῆς τοῦτο ποιῶμεν, ἀλλ᾽ ἐπὶ σωτηρίᾳ, ἐντεῦθεν ἤδη προδιαμαρτύρομαι καὶ παρακαλῶ, παντὶ τρόπῳ καθάραντας ἑαυτοὺς οὕτω προσιέναι τοῖς ἱεροῖς μυστηρίοις. καὶ μή μοι λεγέτω τις, αἰσχύνης γέμω, ἁμαρτημάτων ἔχω τὸ συνειδὸς πεπληρωμένον

5) Malim ἐρχώμεθα et paullo post ὑπομένῃς.
6) Forte παραγενώμεθα.
7) Malim αὐτὸ i. e. τὸ σῶμα. Mox quoque συγχωρήσομεν scribendum videtur.

μένον, φορτίον ἐπιφέρομαι βαρύτατον. ἱκανὴ γὰρ τῶν [8]) πέντε ἡμερῶν τούτων ἡ προθεσμία, ἐὰν νήφῃς καὶ προσέχῃς καὶ ἀγρυπνῇς τὸ πολὺ τῶν ἁμαρτημάτων ὑποτεμεῖσθαι. μὴ γὰρ, ὅτι βραχὺς ὁ χρόνος, ἴδῃς [9]), ἀλλ' ἐκεῖνο σκόπησον, ὅτι φιλάνθρωπος ὁ δεσπότης. ἐπεὶ καὶ Νινευῖται ἐν τρισὶν ἡμέραις τοσαύτην ὀργὴν ἀπεκρούσαντο, καὶ οὐδὲν ἐνεπόδισεν ἡ τοῦ καιροῦ στενοχωρία· ἀλλ' ἴσχυσεν ἡ τῆς ψυχῆς προθυμία τῆς φιλανθρωπίας ἐπιλαβομένη τοῦ δεσπότου τὸ πᾶν ἐργάσασθαι· καὶ ἡ πόρνη δὲ ἐν βραχείᾳ καιροῦ ῥοπῇ, προσελθοῦσα τῷ Χριστῷ, τὰ ὀνείδη πάντα ἀπενίψατο, καὶ τῶν Ἰουδαίων ἐγκαλούντων, ὅτι προσήκατο καὶ μετέδωκεν αὐτῇ παῤῥησίας τοσαύτης ὁ Χριστὸς, τοὺς μὲν ἐπεστόμισεν, ἐκείνην δὲ πάντων ἀπαλλάξας τῶν κακῶν, καὶ τῆς σπουδῆς ἀποδεξάμενος, οὕτως ἀπέπεμψεν. [10]) Τί δή ποτε; ὅτι μετὰ θερμῆς διανοίας καὶ πεπυρωμένης ψυχῆς καὶ ζεούσης προσῆλθε πίστεως, καὶ τῶν ἁγίων καὶ ἱερῶν ἐκείνων ἥψατο ποδῶν, τοὺς βοστρύχους λύσασα, πηγὰς δακρύων ἐκ τῶν ὀφθαλμῶν ἀφιεῖσα, τὸ μύρον κενώσασα. δι' ὧν [11]) γὰρ ἐγοήτευσε τοὺς ἀνθρώπους, διὰ τούτων τὰ φάρμακα τῆς μετανοίας κατεσκεύασεν· δι' ὧν ἀνεπτέρωσε τὰς τῶν ἀκολάστων ὄψεις, διὰ τούτων ἐδάκρυσεν· διὰ τῶν πλοκάμων, δι' ὧν εἰς ἁμαρτίαν πολλοὺς ἐπεσκέλισεν [12]), διὰ τούτων τοὺς πόδας ἀπέμαξε τοῦ Χριστοῦ· διὰ τοῦ μύρου δι' οὗ πολλοὺς ἐδελέασε, διὰ τούτου τοὺς πόδας ἐκείνου ἤλειψε. καὶ σὺ τοίνυν, δι' ὧν παρώξυνας τὸν θεὸν, διὰ τούτων ἵλεων ποίησον πάλιν. παρώξυνας αὐτὸν διὰ χρημάτων ἁρπαγῆς, διὰ τούτων αὐτὸν κατάλλαξον, καὶ τὰ ἁρπαγέντα ἀποδοὺς τοῖς ἠδικημένοις, καὶ ἕτερα τούτοις προσδοὺς, εἰπὲ κατὰ τὸν Ζακχαῖον, ἀποδώσω τετραπλάσια, ὧν ἥρπασα πάντων. παρώξυνας διὰ γλώσσης καὶ λοιδορίας ὑβρίσας πολλοὺς, ἐξιλέωσαι διὰ γλώσσης πάλιν, εὐχὰς καθαρὰς ἀναπέμπων, εὐλογῶν τοὺς λοιδορουμένους, ἐγκωμιάζων τοὺς κακῶς λέγοντας, χάριν ὁμολογῶν τοῖς ἀδικοῦσιν. ταῦτα οὐχ ἡμερῶν δεῖται, οὐδὲ ἐνιαυτῶν, πολλῶν, ἀλλὰ προαιρέσεως μόνης, καὶ ἐν μιᾷ κατ-

8) Vide indicem huius orationis.

9) Forte εἴπῃς pro ἴδῃς legendum.

10) Τί δή ποτε sequente ὅτι ita occurrit apud Philonem, p. 99. edit. Colon. Allobrog. 1613. Similia exempla indicauit Hoogeveen V.C. in De particulis p. 285. et 1081. Ad ἀποπέμπω obiter tantum, vt in re nota, addo locum prorsus similem ex Xenoph. Mem. Socr. I, 2, 61. Βελτίους γὰρ ποιῶν τοὺς συγγιγνομένους ἀπέπεμπεν. De re ipsa vide Lucam in Euangelio Cap. VII. v. 37. sqq.

11) Haec, ni fallor, non videntur aliena ab ingenio Chrysostomi.

12) Ita dedi pro vitioso ἐπεσκέλησεν, quod erat in Codice. Vsitatius quidem est ὑποσκελίζω, tamen h. l. etiam ἐπισκελίζειν ferri posse puto.

ὀρθοῦνται ἡμέρᾳ. ἀπόστηθι τῆς πονηρίας, ἐπιλαβȢ τῆς ἀρετῆς, παῦσαι τῆς κακίας, καὶ ὑπόσχου, μηκέτι αὐτὰ ποιεῖν, καὶ ἀρκεῖ τοῦτο εἰς ἀπολογίαν· ἐγὼ διαμαρτύρομαι καὶ ἐγγυῶμαι, ὅτι τῶν ἁμαρτανόντων ἡμῶν ἕκαστος, ἂν ἀποστὰς τῶν προτέρων κακῶν ὑπόσχηται τῷ θεῷ μετὰ ἀληθείας μηκέτι τῶν αὐτῶν ἅψασθαι, Ȣδὲν ἕτερον ὁ θεὸς ζητήσει πρὸς ἀπολογίαν μείζονα. Φιλάνθρωπος γάρ ἐστι, καὶ καθάπερ ἡ ὠδίνουσα ἐπιθυμεῖ τεκεῖν, Ȣτω καὶ αὐτὸς ἐπιθυμεῖ τὸν ἔλεον τὸν αὐτοῦ ἐκχεῖν, ἀλλ᾽ αἱ ἁμαρτίαι αἱ ἡμέτεραι διακόπτȢσιν. ἀνέλωμεν τοίνυν τὸ τειχίον, καὶ ἐντεῦθεν ἤδη τῆς ἑορτῆς ἀρξόμεθα [13]), τὰς πέντε ἡμέρας ταύτας πᾶσιν ἀποταξάμενοι. ἐῤῥέτω δικαστήρια, οἰμωζέτω βιωτικὰ πράγματα καὶ συμβόλαια καὶ συναλλάγματα, τὴν ψυχήν μȢ βȢλομαι σῶσαι. τί ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδάνῃ, τὴν ψυχὴν αὐτȢ ζημιωθῇ; ἐξῆλθον ἀπὸ Περσίδος οἱ μάγοι· ἔξελθε σὺ τῶν βιωτικῶν πραγμάτων, καὶ πρὸς τὸν Ἰησοῦν ὅδευσον. οὐκ ἔστι πολὺ τὸ μέσον, ἂν ἐθέλωμεν. Ȣ γὰρ πέλαγος ἀνάγκη διαπερᾶσαι, Ȣδὲ ὀρῶν ὑπερβῆναι κορυφὰς, ἀλλ᾽ οἴκοι καθήμενον, εὐλάβειαν ἐπιδεικνύμενον καὶ πολλὴν τὴν κατάνυξιν, ἔστιν ἅπαν καταλῦσαι τὸ τειχίον, ἀνελεῖν τὸ κώλυμα, συστεῖλαι τῆς ὁδοῦ τὸ μῆκος. θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι, φησὶ, καὶ Ȣ θεὸς πόῤῥω. καὶ ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλȢμένοις αὐτὸν ἐν ἀληθείᾳ· νῦν δὲ εἰς τοσȢτον ἀνοίας, καὶ καταφρονήσεως πολλοὶ τῶν πιστῶν [14]) ἐληλάκασιν, ὡς καὶ μυρίων γέμοντες κακῶν, καὶ μηδεμίαν ὅλως ἐπιμέλειαν ἑαυτῶν ποιȢμενοι, ἁπλῶς, καὶ ὡς ἔτυχε, ἐν ταῖς ἑορταῖς τῇ τραπέζῃ προσιέναι ταύτῃ, οὐκ εἰδότες, ὅτι καιρὸς κοινωνίας, οὐχ ἑορτὴ καὶ πανήγυρις, ἀλλὰ συνειδὸς καθαρὸν καὶ βίος ἐγκλημάτων ἀπηλλαγμένος, καὶ καθάπερ τὸν Ȣδὲν ἑαυτȢ συνειδότα φαῦλον καθεκάστην δεῖ προσιέναι τὴν ἡμέραν, Ȣτω τὸν ἐν ἁμαρτήμασι προκατειλημμένον καὶ μὴ μετανοοῦντα, Ȣδὲ ἐν ἑορτῇ προσιέναι ἀσφαλές. Ȣ γὰρ δὴ τὸ ἅπαξ τȢ ἐνιαυτοῦ προσελθεῖν ἀπαλλάττει τῶν ἐγκλημάτων ἡμᾶς, ἂν ἀναξίως προσίωμεν, ἀλλ᾽ αὐτὸ δὴ τȢτο μειζόνως καταδικάζει, ὅτι ἅπαξ προσιόντες, Ȣδὲ τότε καθαρῶς πρόσιμεν. διὰ τȢτο παρακαλῶ πάντας ὑμᾶς, μὴ ἁπλῶς διὰ τὴν τῆς ἑορτῆς ἀνάγκην τῶν θείων ἅπτεσθαι μυστηρίων, ἀλλ᾽ εἴποτε μέλλοιτε τῆς ἁγίας ταύτης μεθέξειν προσφορᾶς, πρὸ πολλῶν ἡμερῶν διακαθαίρειν [15]) διὰ

13) Immo ἀρξώμεθα.

14) Malim χριστιανῶν, aut etiam ἡμετέρων. Certe durum est, eiusmodi homines appellare πιστούς.

15) Hic videtur excidisse aut τὰς ἑαυτῶν ψυχὰς, aut ἑαυτοὺς, aut aliud quid simile.

διὰ μετανοίας καὶ εὐχῆς καὶ ἐλεημοσύνης καὶ τῆς περὶ τὰ πνευματικὰ σχολῆς. πῶς γὰρ οὐκ ἄτοπον, τῶν μὲν σωματικῶν τοσαύτην ποιεῖσθαι τὴν ἐπιμέλειαν, ὥστε ἑορτῆς προαγούσης [16]) πρὸ πολλῶν ἡμερῶν καὶ ἱμάτιον ἐκ τῶν κιβωτίων τὸ κάλλιστον ἀνελομένους προευτρεπίζειν, καὶ ὑποδήματα ὠνεῖσθαι, καὶ τραπέζῃ δαψιλεστέρᾳ πολλοὺς πανταχόθεν προσεπινοεῖν πόρους, καὶ παντὶ τρόπῳ φαιδρύνειν ἑαυτὸν καὶ καλλωπίζειν· τῆς ψυχῆς δὲ, ἠμελημένης, ῥυπώσης, αὐχμώσης, λιμῷ διαφθειρομένης, ἀκαθάρτου μενούσης, μηδένα ποιεῖσθαι λόγον· ἀλλὰ τὸ μὲν σῶμα καλλωπίζοντα [17]) εἰσάγειν ἐνταῦθα· ἐκείνην δὲ γυμνὴν καὶ ἀσχημονοῦσαν. καίτοι τοῦτο μὲν ὁ σύνδουλος ὁρᾷ, καὶ βλάβος οὐδὲν, κἂν ὁπωσοῦν διακείμενον εἴ [18])· ἐκείνην δὲ ὁ δεσπότης, καὶ μεγίστην ἐπάγει κόλασιν τῆς ἀμελείας. οὐκ ἴστε, ὅτι πυρὸς αὕτη γέμει ἡ τράπεζα πνευματικοῦ, καὶ καθάπερ αἱ πηγαὶ φύσιν ὕδατος ἀναβλύζουσιν, οὕτω καὶ αὕτη φλόγα τινὰ ἔχει ἄῤῥητον; μὴ τοίνυν προσέλθῃς καλάμην ἔχων, [19]) μὴ ξύλα καὶ χόρτον, ἵνα μὴ πλείονα τὸν ἐμπρησμὸν ἐργάσῃ, καὶ κατακαύσῃς τὴν μεταλαμβάνουσαν ψυχήν, ἀλλ᾽ ἔχων λίθους τιμίους, χρυσὸν, ἄργυρον, ἵνα καθαρωτέραν ποιήσῃς τὴν ὕλην, ἵνα πολλὴν λαβὼν τὴν εὐπορίαν ἀπέλθῃς. εἴ τι πονηρὸν, ἐξόρισον, φυγάδευσον ἀπὸ τῆς ψυχῆς. ἔχει τὶς ἐχθρὸν, καὶ τὰ μεγάλα ἠδίκηται· καταλυέτω τὴν ἔχθραν, καταστελλέτω τὴν διάνοιαν φλεγμαίνουσαν, οἰδοῦσαν, ἵνα μηδεὶς ἔνδον θόρυβος ᾖ, μηδὲ ταραχή. βασιλέα γὰρ ὑποδέχεσθαι μέλλεις διὰ τῆς κοινωνίας, βασιλέως δὲ ἐπιβαίνοντος τῇ ψυχῇ, πολλὴν εἶναι δεῖ τὴν γαλήνην, πολλὴν τὴν ἡσυχίαν, βαθεῖαν τῶν λογισμῶν τὴν εἰρήνην. ἀλλὰ μεγάλα ἠδίκησαι καὶ οὐ φέρεις ἀφεῖναι τὴν ὀργήν· τί τοίνυν σαυτὸν πολλῷ μείζονα ἀδικεῖς καὶ χαλεπώτερα. οὐ γὰρ τοιαῦτά σε διαθήσεται ὁ ἐχθρὸς, ὅπερ ἂν [20]) ποιῇ, οἷα σὺ σαυτὸν, μὴ καταλλαττόμενος πρὸς ἐκεῖνον· ἀλλὰ τοὺς τοῦ θεοῦ καταπατῶν νόμους ὕβρισέ σε ἐκεῖνος· διὰ τοῦτο οὖν σὺ τὸν θεὸν ὑβρίζεις, εἰπέ μοι; τὸ γὰρ μὴ καταλλάττεσθαι τῷ λελυπηκότι, οὐκ ἐκεῖνον ἐστιν [21]) ἀμυνομένου τοσοῦτον, ὅσον τὸν θεὸν ὑβρίζοντος, τὸν ταῦτα [22]) νομοθετήσαντα. μὴ τοίνυν πρὸς τὸν σύνδουλον ἴδῃς, μηδὲ πρὸς τὸ μέγεθος τῶν ἀδικημάτων ἐκείνου, ἀλλὰ

16) Malim προσαγούσης i. e. ἐγγιζούσης.
17) Forte καλλωπίσαντα.
18) Malim ᾖ. Paullo ante quoque dedi κἂν ὁπωσοῦν pro κανοπωσοῦν.
19) Respexit 1 Cor. III, 12.
20) Quodcunque demum fecerit.
21) Non tam est vindictam sumere ab illo, Non tam est eius, qui vindictam sumat ab inimico.
22) τὸ καταλλάττεσθαι.

τὸν θεὸν καὶ τὸν ἐκείνου φόβον εἰς νῦν βαλλόμενος, ἐκεῖνο σκόπησον, ὅτι ὅσο [23]) ἂν μείζονα πάσχῃς βίαν κατὰ ψυχὴν μετὰ μυρία κακὰ ἀναγκαζόμενος καταλλάτἶεθαι τῷ πεποιηκότι κακῶς, τοσῦτο πλείονος ἀπολαύσῃ τιμῆς παρὰ τῦ ταῦτα κελεύσαντος θεῦ, καὶ καθάπερ αὐτὸν μετὰ πολλῆς ὑποδέχῃ τῆς τιμῆς ἐνταῦθα, ὕτω δὴ καὶ αὐτὸς μετὰ πολλῆς ὑποδέξεταί σε τῆς δόξης ἐκεῖ, μυριοπλασίυς ἀποδιδὺς σοι τῆς ὑπακοῆς ταύτης τὰς ἀμοιβὰς, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τῦ κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, μεθ' ου τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, τιμὴ, κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

23) Sic Codex. Puto autem ὅσον legendum esse ob τοσοῦτον, quod mox huic respondet.

SPECI-

II.

SPECIMEN CATENAE INEDITAE AD QVATVOR EVANGELISTAS, QVAE VVLGO TRIBVITVR EVTHYMIO ZIGABENO.

AD MATTHAEI [1]) CAPVT XXVI.

v. 1. Καὶ ἐγένετο — — — — v. 2. σαυρωθῆναι.

* *
*

Τοῦ νομικοῦ πάσχα συμπίπτοντος κατὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς, ὡς ὁ περὶ τούτου νόμος ἐπέτρεπε, πρόδηλον, ὅτι κατὰ τὴν δωδεκάτην τοῦτο πρὸς τοὺς μαθητὰς εἴρηκε. κατὰ ταύτην μὲν γὰρ τὴν δωδεκάτην παρὰ τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ [2]) δεδείπνηκε, κατὰ δὲ τὴν τρισκαιδεκάτην, παρ' ᾧ τὸ ἐσρωμμένον [3]) ἀνώγαιον, ὡς μετ' ὁ πολὺ δειχθήσεται. κατὰ τὴν τεσσαρεσκαιδεκάτην δὲ, τὸ πάσχα συνέπεσεν. εἶπε δὲ τοῦτο, σημαίνων ἐγγὺς οὖσαν τὴν ἑαυτοῦ τελευτήν. ἐν αὐτῷ γὰρ τῷ καιρῷ τοῦ νομικοῦ πάσχα παθεῖν ἔμελλε καὶ αὐτός. οὐκ εἶπε δὲ ἁπλῶς, ὅτι παραδίδοται, ἀλλ' ὅτι εἰς τὸ σαυρωθῆναι· ἁπλῶς μὲν γὰρ παρεδόθη τοῖς Ἰουδαίοις μετὰ μίαν ἡμέραν, ἤγουν ἐν τῇ τρισκαιδεκάτῃ. ταύτης γὰρ ἐνισαμένης, μετὰ τὸ κοινωνῆσαι τοῖς μαθηταῖς τοῦ μυσικοῦ δείπνου, παρεδόθη τοῖς ἐπιβούλοις· εἰς δὲ τὸ σαυρωθῆναι παρεδόθη μετὰ δύο ταύτας ἡμέρας, ἤτοι μετὰ τὴν δωδεκάτην καὶ τὴν τρισκαιδεκάτην. ἐν τῇ τεσσαρεσκαιδεκάτῃ γάρ φησιν ὁ εὐαγγελισὴς, τότε ἀπέ-

1) Hoc ſpecimen a me editum eſt ex duobus Codd. MSS. membranaceis Sec. XII. optimae notae. Interpretatio Capitis XXVII. et XXVIII. in tertio aut quarto huius libelli volumine a me adiicietur.

2) Cod. A. ἐδείπνησε. Mox idem ante τὴν τρισκαιδεκάτην omittit δὲ, et addit ante παρ' ᾧ.

3) ἐσρωμένον Cod. A.

ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν [4]) ὁ Πιλάτος· τὸν δὲ Ἰησοῦν φραγελώσας παρέδωκεν, ἵνα σαυρωθῇ.

v. 3. Τότε συνήχθησαν — — v. 4. — ἀποκτείνωσιν

* * *

Τοῦ νόμου κελεύοντος ἕνα ἀρχιερέα καθίσασθαι μέχρις ἂν ζῇ, τούτου δὲ τελευτήσαντος ἕτερον ἀντικαθισασθαι, παρέλυσαν Ἰουδαῖοι τὸν νόμον, καὶ ἐνιαυσιαίαν τὴν ἀρχιερωσύνην ἐποίησαν, ὅθεν εἰκὸς, πολλοὺς εἶναι τοὺς ἀρχιερατεύσαντας μὲν, πεπληρωκότας δὲ τὴν λαχοῦσαν λειτουργίαν, οὓς νῦν ἀρχιερεῖς ὁ εὐαγγελισὴς ὠνόμασε. γραμματεῖς δὲ λέγει, τοὺς νομοδιδασκάλους· πρεσβυτέρους δὲ τοῦ λαοῦ, τοὺς [5]) γηραιοὺς καὶ συνετωτέρους, οἳ πάντες ὁμοῦ τότε συνήχθησαν παρὰ τῷ Καϊάφᾳ, τὴν ἀρχιερωσύνην τηνικαῦτα [6]) κεκληρωμένῳ διέπειν, ὑπὸ τούτῳ θέλοντες τὸ τοῦ φόνου λαβεῖν ἐνδόσιμον, ὑφ᾽ οὗ κωλυθῆναι μᾶλλον ἐχρῆν. δόλῳ δὲ κράτησιν εἶπε, τὴν λαθραίαν κατάσχεσιν. τὴν γὰρ ἐκ τοῦ προφανοῦς ἐφυλάσσοντο, διὰ τοὺς μαθητὰς αὐτοῦ, καὶ τοὺς ἄλλως ἑπομένους.

v. 5. Ἔλεγον — — — — — — — λαῷ.

* * *

Ἔλεγον δὲ, μὴ ἐν τῇ ἑορτῇ, δηλαδὴ γενέσθω. πάντων γὰρ πανταχόθεν ἐν τῇ ἑορτῇ τοῦ πάσχα συνειλεγμένων, συνέβαινε πολλοὺς εἶναι περὶ τὸν Ἰησοῦν, ἄλλως τε καὶ μὴ λανθάνοντος τοῦ πράγματος, οὐκ ἀπροσδόκητον ἦν αὐτοῖς, ταραχθῆναι τὸν λαὸν, μυσαχθέντα τούτους, οὐ μόνον ὅτι ἀθῷον ἀνεῖλον, ἀλλ᾽ ὅτι καὶ ἐν τῇ ἑορτῇ, καθ᾽ ἣν καὶ κατάδικον εἰς τιμὴν αὐτῆς ἀπολύειν σύνηθες ἦν. οὕτως οὐ τὸν θεὸν, ἀλλὰ τοὺς ἀνθρώπους, πανταχοῦ φοβοῦνται. ἀλλ᾽ εἰ καὶ τοῦτο οὕτως κεκρίκασιν, ὅμως οὐκ ἀνέμειναν, ἀλλ᾽ εὑρόντες τὸν προδότην, ἥρπασαν [7]) τὸν καιρὸν, καὶ τῆς τοῦ φθόνου λύσσης ἀναβακχευσάσης αὐτοὺς, καὶ τὸ συμφέρον ἠγνόησαν, καὶ ἐν τῇ ἑορτῇ τοῦτον καταθύσαντες, ἔδειξαν τῆς κατ᾽ αὐτοῦ μανίας τὴν ὑπερβολήν. ἔδει γὰρ, ἔδει τὸν σωτήριον ἀμνὸν ἐν τῇ ἡμέρᾳ τῆς τοῦ νομικοῦ ἀμνοῦ θυσίας θυσιασθῆναι, τοῦ σωτῆρος χρησαμένου τῇ ἐκείνων πονηρίᾳ πρὸς

4) βαραββᾶν. Cod. A.
5) Cod. A. γηραιούς.
6) Cod. A. πεπληρωμένῳ.
7) Cod. A. ἥρπασαν καὶ τὸν καιρόν.

πρὸς τὴν οἰκείαν οἰκονομίαν, ἵνα πάντως ὁ τύπος καταλλήλως [8]) λάβῃ τὴν ἔκβασιν. χρὴ δὲ καὶ τοῦτο συνιδεῖν, ὅτι πολλάκις μὲν αὐτὸν κατασχεῖν θελήσαντες, οὐκ ἠδυνήθησαν. οὐ γὰρ αὐτὸς ἤθελεν. ὅτε δὲ αὐτὸς ἠθέλησε, τότε καὶ μὴ θέλοντες αὐτοὶ, καὶ γὰρ ἐφυλάσσοντο τὴν ἑορτὴν, ὡς εἴρηται, συνέσχον αὐτόν. τὰ αὐτὰ δὲ καὶ ὁ [9]) Μάρκος περὶ τούτου φησίν, ὁ δέ γε Λουκᾶς ἐπιτόμως εἰπὼν, πρὸς τὸν Ἰούδαν μεταβέβηκεν. ὁ δ' Ἰωάννης τοῦτο μὲν τὸ κεφάλαιον παρῆκεν, ὡς τοῖς ἄλλοις εἰρημένον, ὃ καὶ ἐν πολλοῖς ἄλλοις κεφαλαίοις ἐποίησε. μακροβιώτατος γὰρ γενόμενος ἐνέτυχε ταῖς βίβλοις αὐτῶν, ὡς ἐν τῷ προοιμίῳ τῆς παρούσης βίβλου παρεσημειωσάμεθα· ἑτέρου δὲ λόγου ἅπτεται, καὶ τὰ περὶ τοῦ νιπτῆρος διέξεισιν, ὡς παραλελειμμένα τούτοις.

v. 6. Τοῦ δὲ ἰησοῦ — — — — v. 7. — ἀνακειμένου.

* * *

Τρεῖς εἰσὶν αἱ γυναῖκες αἱ τὸν κύριον ἀλείψασαι μύρῳ. πρώτη μὲν ἡ παρὰ τῷ Λουκᾷ, ἥτις καὶ ἁμαρτωλὸς ἦν, καὶ περὶ τὰ μέσα τοῦ κηρύγματος τοῦτο πεποίηκε, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ Φαρισαίου, ὅτε καὶ σκανδαλίζεται μόνος ὁ Φαρισαῖος, ἥτινι καὶ μισθὸν δίδωσιν ὁ σωτὴρ, τὴν ἄφεσιν τῶν ἁμαρτημάτων. δευτέρα δὲ, ἡ παρὰ τῷ Ἰωάννῃ, ἥτις Μαρία ἦν, ἡ ἀδελφὴ τοῦ Λαζάρου, βίον ἔχουσα σεμνὸν, καὶ πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα τοῦτο πεποίηκε, καὶ ἐν τῷ ἰδίῳ οἴκῳ, καὶ χαριστήριον τῆς τοῦ ἀδελφοῦ παλινζωΐας προσήγαγε τὸ [10]) μύρον. διὸ οὐδὲ μισθὸς αὐτῇ ἐπαγγέλλεται, ὅτε καὶ γογγύζει μόνος Ἰούδας. τρίτη δέ ἐστιν [11]) αὕτη, περὶ ἧς Ματθαῖος καὶ Μάρκος ὁμοίως διαλαμβάνουσιν, ἥτις πρὸ δύο ἡμερῶν τοῦ πάσχα προσῆλθε, καὶ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ· πρὸς ἀντιδιαστολὴν γὰρ τοῦ Φαρισαίου τὸ ἀπὸ τῆς λέπρας ἐπίσημον προστεθείκασιν, ἅμα δεικνύντες καὶ ὅτι οὐκ ἐβδελύξατο τὴν ἀκαθαρσίαν τοῦ σώματος αὐτοῦ ὁ χριστὸς, διὰ τὴν τῆς ψυχῆς αὐτοῦ καθαρότητα· καὶ ἐπὶ τὴν κεφαλὴν τοῦ χριστοῦ τὸ μῦρον κατέχεεν, οὐκ ἐπὶ τοὺς πόδας, ὡς ἐκεῖναι, ὅτε καὶ ἀγανακτοῦσιν οἱ μαθηταὶ, ἧς καὶ τὸ μνημόσυνον εἰς τὴν οἰκουμένην ᾄδεσθαι ἐπαγγέλλεται. φανεραὶ μὲν οὖν αἱ διαφοραὶ τῶν τριῶν.

8) Ἐκβάλῃ pro λάβῃ Cod. A.
9) Cod. A. omittit ὁ.
10) τῷ μύρῳ. Cod. A.
11) Ἐστιν omittit Cod. A.

αὕτη δὲ λελεπρωμένη τὴν ψυχὴν οὖσα ἐπείπερ εἶδε τὸν λεπρὸν Σίμωνα τεθεραπευμένον, ἐθάῤῥησεν, ὅτι καὶ αὐτὴ τεύξεται τῆς ἰάσεως. [12]) ἀλάβαστρον δέ ἐστιν εἶδος ἀγγείου μυροδόχου. Μάρκος δὲ καὶ τὸ τοῦ μύρου εἶδος προσέθηκε. νάρδου γάρ, φησι, πιστικῆς πολυτελοῦς. πιστικὴν καλῶν, ὡς ἔοικε, τὴν ἄκρατον καὶ καταπεπιστευμένην εἰς καθαρότητα, ἢ καὶ [13]) προσηγορία τίς ἦν τοῦτο μύρου. λέγει δὲ καὶ ὅτι συνέτριψε τὸ ἄγγος ὑπὸ σπουδῆς, οἷα στενόπορον.

v. 8. ἰδόντες δὲ — — — — v. 9. — πτωχοῖς.

* * *

ἠγανάκτησαν, ἀλλὰ πρὸς ἑαυτούς, ὡς ὁ Μάρκος εἶπεν, ὃς προσέθηκε καὶ ὅτι εἶπον, ἠδύνατο τοῦτο πραθῆναι ἐπάνω τριακοσίων δηναρίων. καὶ ὅτι καὶ ἐνεβριμῶντο αὐτῇ, τουτέστιν, ἐπέπληττον, ἐμέμφοντο, διὰ τὴν παράχρησιν. εἰς τοῦτο δὲ προήχθησαν ὑπὸ φιλανθρωπίας, πολλάκις ἀκούσαντες τοῦ διδασκάλου πολλὰ περὶ ἐλεημοσύνης διαλεχθέντος, καὶ πολὺν ἤδη λόγον τῶν πενήτων ἔχοντες, καὶ γινώσκοντες, ὅτι ὁ θεὸς ἔλεον θέλει καὶ οὐ θυσίαν. ἀξιοθαύμαστος δέ ἐστιν ἡ γυνή, μὴ φεισαμένη τηλικούτου ἀναλώματος ὑπὲρ σωτηρίας ψυχῆς· οὐ γὰρ ὑπὲρ σωματικῆς ἰατρείας τοῦτο πεποίηκε.

v. 10. γνοὺς — — — — — — γυναικί;

* * *

ἐπεὶ ἔφθασε καταχεθῆναι τὸ μύρον, ἠνέσχετο λοιπὸν ὁ κύριος, οὐχ ὡς τοῦ μύρου δεόμενος, ἀλλ' ἵνα μὴ ἀμβλύνει [14]) τὴν πίστιν αὐτῆς. ἐπεὶ δὲ οἱ μαθηταὶ τῇ γυναικὶ ἐπιτιμῶντες εἰς μεταμέλειαν αὐτὴν τοῦ πεπραγμένου συνήλαυνον, μανθάνουσαν παρ' αὐτῶν, ὅτι μάτην ἀνάλωσε [15]) πολύτιμον χρῆμα, ἀντεπιτιμᾷ τούτοις, κόπους μὲν λέγων, τὰς ἐκ μεταμελείας ὀδύνας· διδάσκων δέ, ὅτι οὐ

χρὴ

12) Ἀλλάβαστρον. Cod. A. Apographum Gloſſarii Cyrilli, quod eſt apud me, ſic habet: ἀλάβαστρον· μυροθήκη ψήφινος ἢ λίθινος. Aliud Lexicon ineditum. Ἀλλάβαστρον· μυροθήκη ψήφινος ἢ λίθινος, ἀλάβαστόν τι ὄν, πλεονασμῷ τοῦ ρ, ἀλάβαστρον, ὃ λαβέσθαι διὰ λειότητα ἀδύνατον.

13) Fortaſſe etiam hoc (πιστικὸν) nomen fuit cuiusdam generis vnguenti.

14) Ἀμβλύνῃ Cod. A.

15) Τὸ πολύτιμον. Cod. A.

χρὴ πηροῦν [16]) ἀρχομένην βλαςάνειν τὴν πίςιν τῶν ἀνθρώπων, ἀλλὰ συνεκτρέφειν μᾶλλον αὐτὴν, καὶ μὴ παρὰ τὴν ἀρχὴν ἐπιζητεῖν ἅπασαν ἀκρίβειαν, μηδὲ τὰ ὑψηλότερα τοὺς ἀσθενεςέρους ἀπαιτεῖν. εἶτα παραμυθεῖται καὶ τὴν γυναῖκα, λέγων·

v. 10. Ἔργον — — — — — — εἰς ἐμέ.

* *
*

Ἐπαινέσας ἁπλῶς τὸ ἔργον αὐτῆς, πρῶτον μὲν λύει τὴν περὶ τῶν πτωχῶν πρόφασιν τῶν μαθητῶν, ἔπειτα ὑπεραπολογεῖται καὶ τοῦ ἔργȣ αὐτῆς.

v. 11. Τοὺς πτωχοὺς — — — — v. 12. ἐποίησε.

* *
*

περὶ τῶν πτωχῶν ἐκδηλότερον ἔγραψεν ὁ Μάρκος. ὅταν γάρ, φησι, θέλητε [17]), αὐτοὺς δύνασθε εὖ ποιῆσαι. εἰπὼν δὲ ὅτι, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε, ὑπόμνησιν [18]) αὐτοῖς ἐνέβαλε τῆς μετ' ὀλίγον σφαγῆς αὐτοῦ. πρὸς τὸ ἐνταφιάσαι με [19]) δὲ ἐποίησεν, ἀντὶ τοῦ πρὸς ἐνταφιασμόν μȣ, καθάπερ προφητεύουσα τὸν πλησιάζοντά μου θάνατον, καὶ τοῦτο δὲ φανερώτερον εἴρηκεν ὁ Μάρκος, ὅτι, ὃ ἔσχεν, αὕτη ἐποίησε. προέλαβε γὰρ μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν. ἔθος γὰρ ἦν μύροις ἐνταφιάζειν τὰ σώματα πρὸς τὸ διαρκεῖν. τὸ δὲ [20]) ἔσχεν, ἀντὶ τοῦ, ὃ ἠδύνατο. καὶ [21]) σὺ τοίνυν ἐὰν μὲν ἴδῃς τινὰς κατασκευάζοντας ἐκκλησίας, ἢ μοναςήρια, ἢ ἀναθήματα, μὴ κέλευε καταλύειν τὸ γινόμενον, ἵνα μὴ πηρώσῃς αὐτῶν τὴν προθυμίαν· ἐὰν δὲ πρὸ τοῦ κατασκευάσαι τίς ἐρωτήσῃ, κέλευε δοῦναι πτωχοῖς.

v. 13.

16) πηροῦν --- βλαςάνειν --- συνεκτρέφειν per se lectissimae metaphorae, hic tamen paululum inter se discrepant.
17) θέλητε, δύνασθαι αὐτούς. Cod. A.
18) αὐτῆς Cod. A.
19) δὲ omittit Cod. A.
20) ὃ ἔσχεν rectius Cod. A.
21) Hoc additamentum vehementer placet. Placuerat etiam scribae codicis. In margine enim liquore rubro adscripserat ὡς i. e. ὡραῖον.

v. 13. Ἀμὴν — — — — — — — αὐτῆς.

* *
*

Τοῦτο καὶ τῆς γυναικὸς παράκλησις καὶ ἔπαινος ἦν, καὶ τῶν μαθητῶν παραμυθία, τῆς μέν, ὅτι ἔσαι κατὰ πᾶσαν ᾀδομένη τὴν οἰκουμένην· τῶν δέ, ὅτι τὸ κήρυγμα πᾶσαν [22]) περιλάβη τὴν οἰκουμένην· τὸ εὐαγγέλιον δὲ τοῦτο, ἀντὶ τοῦ ἡ πραγματεία ἡ ἐμή, ἡ διήγησις ἡ κατ' ἐμέ. καὶ ὄντως ὅσοι γινώσκουσι τὰ κατὰ τὸν χριςόν, γινώσκουσι καὶ ὃ ἐποίησεν αὕτη, καὶ τῷ εὐαγγελίῳ συνεκηρύχθη τὸ ἔργον αὐτῆς, καὶ εἰς ἅπασαν τὴν γῆν διέδραμεν αὐτῆς τὸ μνημόσυνον. καὶ πῶς ἐδὲν πνευματικὸν ὑπέσχετο τῇ γυναικί, ἀλλὰ μόνην τὴν εἰσαεὶ μνήμην; ἀπὸ ταύτης καὶ περὶ ἐκείνου θαρρεῖν ἔδωκεν· εἰ γὰρ καλὸν ἔργον αὐτῇ προσεμαρτύρησε, πρόδηλον, ὅτι δώσει καὶ τὸν ὑπὲρ τούτου μισθόν. προετύπου δὲ ἡ μὲν γυνὴ τὴν ἐκκλησίαν τὴν πρότερον οὖσαν ἁμαρτωλόν, τὸ δὲ μῦρον, τὴν πίςιν, ἣν ἐξέχεεν εἰς χριςόν· ὑπόμνησιν δὲ [23]) τοῖς μαθηταῖς, ὡς εἰρήκαμεν, ἐμβαλὼν τῆς μετ' ὀλίγον σφαγῆς αὐτοῦ, καὶ τὸν Ἰέδαν ὑπένυξεν, ὡς ἐ λέληθε πονηρὰ σκεπτόμενος, ὑπανοίγων αὐτῷ μετανοίας θύραν. ὁ δὲ καὶ πρότερον μὲν ἐπὶ τῆς ἀδελφῆς τοῦ Λαζάρου διεγόγγυσε, λέγων· διὰ τί τοῦτο τὸ μῦρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς. εἶπε δέ, φησι, τἔτο, ἐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάςαζε. τὸ γλωσσόκομον δὲ ἦν, βαλάτιον [24]), ἐν ᾧ τὰ προσαγόμενα χάριν τῶν πενήτων ἐναπεθησαυρίζοντο. ὢν δὲ βαλαντιοφύλαξ, ἐβέλετο καὶ τὸ τίμημα τοῦ μύρε ἐναποταμιευθῆναι τῷ βαλαντίῳ, ἵνα δύναιτο κλέψαι. φιλαργυρίᾳ γὰρ ἁλοὺς, εἰς κλοπὴν ἑώρα. τότε δὲ [25]) τυχὸν ἀπολογίας, ἐπεὶ καὶ νῦν τὸ αὐτὸ γεγονὸς εἶδε, καὶ τῆς ἀφορμῆς τἔ κλέψαι πάλιν ἀπέτυχεν, εἰς ὀργὴν λοιπὸν ἐξεκαύθη, καὶ εἰσελθόντος εἰς αὐτὸν τοῦ σατανᾶ, καθὼς εἶπεν ὁ Λουκᾶς, ἄρχεται τῆς ἐπιβολῆς.

v. 14.

22) Vterque Codex habet περιλάβῃ.
23) τῶν μαθητῶν. Cod. A.
24) βαλλάντιον. Cod. A. idem mox habet βαλλαντιοφύλαξ. et paullo post rursus βαλλαντίῳ. Addo obiter de vocabulo γλωσσόκομον Cyrill. Gloss. inedit. γλωσσόκομον· βαλλάντιον, ἢ ξυλίνη θήκη. Idem habet quoque aliud Lexicon ineditum.
25) τυχὼν rectius Cod. A.

v. 14. Τότε — — — — v. 15. παραδώσω αὐτόν.

* *
*

ὅτε ἡ ἀλλοτρία ᾠκειώθη, τότε ὁ οἰκεῖος ἠλλοτριώθη, καὶ ἐπορεύθη πρὸς αὐτοὺς, οὐχ ὑπ' αὐτῶν μετεκλήθη. προστίθεται δὲ τὸ ὑπὸ τῆς ἐνεγκαμένης ἐπώνυμον, διότι καὶ ἄλλος Ἰούδας ἦν ὁ Ἰακώβου. οὐκ εἶπε δὲ ὅτι τὸν ἰησοῦν ἢ τὸν χριστὸν, ἀλλ' ὅτι αὐτόν. ἐμίσει γὰρ λοιπὸν αὐτοῦ καὶ τὸ ὄνομα. Λουκᾶς δὲ εἶπεν, ὅτι συνελάλησε καὶ τοῖς στρατηγοῖς, τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς. οἱ γὰρ ἀρχιερεῖς παρέπεισαν καὶ τοὺς στρατηγοὺς, συνάρασθαι αὐτοῖς κατὰ τοῦ σωτῆρος, ὡς ἀναστατοῦντος τὸ πλῆθος.

v. 15. οἱ δὲ — — — — — — v. 16. παραδῷ.

* *
*

οἱ δ' ἀρχιερεῖς [26]) ἐστάθμησαν αὐτῷ τριάκοντα ἀργύρια. τὸ ἀργύριον δὲ σταθμὸς ἦν ὁλκῆς, ὥσπερ καὶ τὸ δηνάριον καὶ ὁ στατὴρ, καὶ τὸ τάλαντον. Μάρκος δὲ εἶπεν, ὅτι ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι· Λουκᾶς δὲ, ὅτι συνέθεντο. εἰκὸς δὲ πρῶτον [27]) μὲν συνθέσθαι καὶ ἐπαγγείλασθαι, εἶτα [28]) σταθμῆσαι, τινὲς δὲ τὸ, ἔστησαν, ἀντὶ τοῦ συνεφώνησαν καὶ ὡρίσαντο νενοήκασιν· ἀργύριον δὲ ἁπλῶς λέγεται καὶ τὸ πλῆθος τῶν ἀργυρίων. Λουκᾶς δὲ περὶ τοῦ Ἰούδα προσέθηκεν, ὅτι καὶ ἐξωμολόγησεν, ἤγουν βεβαίως συνεφώνησεν, ἐκ καρδίας ἐπηγγείλατο ποιῆσαι τὸ συντεθέν. εὐκαιρίαν δὲ νόει τὸν ἐπιτήδειον καιρὸν, ὅτε συλληφθέντος, οὐκ ἔμελλε θόρυβος γενέσθαι. χρὴ δὲ τὸ ἐντεῦθεν ἄχρι τέλους τῶν εὐαγγελίων πᾶσαν εἰσενεγκεῖν παρατήρησιν καὶ ἀκρίβειαν, ὥστε συμβιβάσαι τὰ ῥητὰ τῶν εὐαγγελιστῶν ἀλλήλοις, οὐκ εὐάρμοστα δοκοῦντα, καὶ πολλὴν τοῖς μὴ προσέχουσι παρέχοντα τὴν δυσχέρειαν. διὰ τοῦτο γοῦν τὰ τοῦ Ματθαίου μεταχειριζόμενοι, καὶ τὰ τῶν ἄλλων, ἐν οἷς εἰκὸς, παραθήσομεν, ὡς ἀναγκαῖα πρὸς τὴν ἐξήγησιν, ὑπὲρ τοῦ συνᾴδοντα καὶ σαφῆ γενέσθαι τὸν λόγον.

v. 16. Τῇ δὲ — — — — — — v. 17. πάσχα.

* *
*

ἄζυμα μὲν ἐνταῦθα τὸ πάσχα καλοῦσιν οἱ εὐαγγελισταὶ Ματθαῖος καὶ Μάρκος, διότι κατὰ τὸ πάσχα τοῖς τοῦ ἀμνοῦ κρέασι

26) Ἐστάθμισαν Cod. B.
27) Μὲν omittit Cod. A. Idem mox dat ἐπηγγείλασθαι.
28) σταθμίσαι. Cod. B.

κρέασι καὶ ἄζυμα συνησθίοντο καὶ ἀπὸ τούτων τῶν ἀζύμων ἄζυμα καὶ τὸ πάσχα κατωνομάζετο. καὶ βεβαιοῖ τοῦτο Λουκᾶς εἰπών· ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη πάσχα. πρώτην 29) δὲ τῶν ἀζύμων, τὴν πρὸ τοῦ πάσχα φασὶν ἡμέραν, τὴν τρισκαιδεκάτην μὲν τοῦ μηνὸς, πέμπτην δὲ τῆς ἑβδομάδος· πρώτην ταύτην τῶν ἀζύμων καλέσαντες, ὡς προλαμβάνουσαν τὰ ἄζυμα τοῦ πάσχα. καὶ μάρτυς τοῦ λόγου σαφὴς Ἰωάννης εἰπών· πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα εἰδὼς ὁ Ἰησοῦς, ὅτι ἐλήλυθεν αὐτοῦ ἡ ὥρα καὶ τὰ ἑξῆς. ταύτην γὰρ τὴν ἡμέραν, ἣν Ματθαῖος καὶ Μάρκος πρώτην τῶν ἀζύμων κεκλήκασιν, οὗτος πρὸ τῆς ἑορτῆς τοῦ πάσχα ὠνόμασεν. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. ἐπεὶ δὲ περὶ ταύτης τῆς ἡμέρας, τῆς τρισκαιδεκάτης μὲν τοῦ μηνὸς, πέμπτης δὲ τῆς ἑβδομάδος, Μάρκος μὲν φησι, καὶ τῇ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, Λουκᾶς δὲ, ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα· τὸ, ὅτε τὸ πάσχα ἔθυον, καὶ τὸ, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα, μὴ πρὸς τὴν πρώτην τῶν ἀζύμων συντάξῃς, ἀλλὰ πρὸς αὐτὴν τὴν τῶν ἀζύμων ἡμέραν. οὐ γὰρ ἐν τῇ τρισκαιδεκάτῃ, ἀλλ' ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἐθύετο. φησὶ γὰρ ὁ νόμος, ἐν πρώτῳ μηνὶ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, ἀνὰ μέσον τῶν ἑσπερινῶν, πάσχα τῷ κυρίῳ. καὶ ἐπεὶ ἀνὰ μέσον τῆς ἑσπέρας τὸ πάσχα ἐθύετο, πῶς τὴν ἡμέραν πάσχα καὶ ἄζυμα ὀνομάζουσιν; διότι τὴν ἑσπέραν τῇ πρὸ αὐτῆς ἡμέρᾳ 30) συνάπτειν εἰώθασιν Ἰουδαῖοι. καὶ λοιπὸν ἀπὸ τῆς ἑσπέρας τοῦ πάσχα καὶ τῶν ἀζύμων καὶ τὴν ἡμέραν αὐτῆς ἄζυμα ὀνομάζουσι. καὶ πῶς ἐπὶ τῆς τρισκαιδεκάτης τοῦ μηνὸς εἶπε Λουκᾶς, ὅτε ἦλθεν ἡ ἡμέρα τῶν ἀζύμων; διότι τὸ ἦλθε, σημαίνει καὶ τὸ ἐπλησίασε, καὶ τούτῳ 31) λοιπὸν ἐχρήσατο τῷ σημαινομένῳ. χρὴ δὲ γινώσκειν, ὡς, εἰ καὶ τῶν ἀζύμων κατὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς ἀπήρχοντο, ἀλλ' οὖν τὴν ἑορτὴν τῶν ἀζύμων κατὰ τὴν πεντεκαιδεκάτην ἐτέλουν. φησὶ γὰρ ὁ νόμος ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς, ἑορτὴ τῶν ἀζύμων τῷ κυρίῳ. ταύτην δὲ καὶ πρώτην τῶν ἀζύμων ἐκάλουν, ὡς προαριθμουμένην τῶν 32) ἑπτὰ ἡμερῶν τῶν ὡρισμένων, ἐν αἷς οὐδὲν ζυμωτὸν ἠσθίετο. ἑπτὰ γὰρ, φησιν, ἡμέρας ἄζυμα ἔδεσθε. ἀλλ' οὐ περὶ ταύτης τῆς ἑορτῆς τῶν ἀζύμων, οὐδὲ περὶ ταύτης τῆς πρώτης τῶν ἀζύμων εἶπον οἱ εὐαγγελισταὶ, καθὼς ἀπο-

29) Πρώτη. Cod. A.
30) Ἡμέρας. Cod. A.
31) τοῦτο. Cod. A.
32) Inter τῶν et ἑπτὰ addit Cod. A. ὡρισμένων. Mox autem omittit τῶν ὡρισμένων.

ἀποδέδεικται. αὕτη μὲν γὰρ κατὰ τὴν πεντεκαιδεκάτην ἤγετο τοῦ μηνός. ἐκεῖνοι δὲ περὶ τῆς τρισκαιδεκάτης ἔγραψαν. εἰπόντες δὲ οἱ μαθηταὶ, ποῦ θέλεις ἑτοιμάσομέν σοι φαγεῖν τὸ πάσχα, ἔδειξαν, ὅτι οὐκ εἶχεν ἴδιον καταγώγιον. οἶμαι δὲ, ὅτι οὐδ᾽ αὐτοὶ, πᾶσιν ἀποταξάμενοι. ἢ γὰρ ἂν ἐκεῖ τοῦτον ἐλθεῖν παρεκάλεσαν. ἐπιτελεῖ δὲ τὸ πάσχα, δεικνὺς, ὅτι μέχρι τελευτῆς τὸν νόμον ἐτήρει. Φησὶ δὲ ὁ Λουκᾶς, πρῶτον εἰπεῖν τὸν χριστὸν τοῖς μαθηταῖς, πορευθέντες, ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα φάγωμεν, εἶτα τοὺς μαθητὰς ἐρωτῆσαι, ποῦ θέλεις ἑτοιμάσομεν.

v. 18. Ὁ δὲ — — — — — — — μου.

* * *

Μάρκος δὲ καὶ τὸν ἀριθμὸν εἶπε τῶν ἀποσταλέντων, ὅτι δύο. Λουκᾶς δὲ, καὶ τὰ ὀνόματα τούτων προσέθηκεν, εἰπὼν ὅτι, καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην. πόλιν δὲ, τὴν τῶν Ἱεροσολύμων ὑποληπτέον. ὅρα δὲ, πῶς τὸν δεῖνα πλαγίως εἰπὼν παρεσιώπησε μὲν τοῦ ἀνδρὸς τὴν κλῆσιν, ὅπως [33]) δὲ μὴ μαθὼν τὴν οἰκίαν Ἰούδας ἐκδράμῃ πρὸς τοὺς ἐπιβούλους, καὶ ἐπαγάγῃ τούτους αὐτῷ πρὸ τοῦ παραδοῦναι τὸ [34]) μυστικὸν δεῖπνον τοῖς μαθηταῖς. ἀντὶ δὲ ταύτης δέδωκεν ἕτερον γνώρισμα, ὅπερ ὁ Μάρκος ἀνέγραψεν, εἰπὼν, ὅτι καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, ἀκολουθήσατε αὐτῷ, καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ, ὁ διδάσκαλος λέγει, ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω. καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγεων μέγα ἐστρωμμένον, ἐκεῖ ἑτοιμάσατε ἡμῖν. τὰ παραπλήσια δὲ καὶ ὁ Λουκᾶς ἱστόρησε. καιρὸν [35]) δὲ αὐτοῦ νοοῦμεν ἐγγίζοντα, τὸν τοῦ θανάτου. μετὰ τῶν μαθητῶν μου δὲ εἶπεν, ἵνα καὶ πρὸς τούτους αὐτάρκης ἡ ὑποδοχὴ γένηται. κατάλυμα δὲ λέγεται, τὸ καταγώγιον. φαίνεται δὲ, ὅτι πιστὸς ὢν ἐκεῖνος ὁ οἰκοδεσπότης, εἴτε κατὰ ἀποκάλυψιν θειοτέραν, εἴτε καὶ κατὰ [36]) συντυχίαν σωματικὴν τοῦ σωτῆρος, ἐγίνωσκε τοῦτον παρ᾽ αὐτῷ τελέσοντα τὸ πάσχα, καὶ διὰ τοῦτο πρὸς ὑποδοχὴν ἠυτρεπισμένον εἶχε καὶ τὸ ἀνώγεων. μετ᾽ ἐξουσίας δὲ κἀνταῦθα μηνύει, ὡς ἁπάντων κύριος. ὑποσημαίνεται δὲ καί τι μυστικὸν ἐντεῦθεν, ὅτι εἰς ὃν ἂν εἰσέλθῃ

33) Δὲ post ὅπως rectius omittit Cod. A.
34) τὸν μυστικόν. Cod. A.
35) Δὲ omittit Cod. A.
36) Quia consuetudine vsus fuerat, quia cum eo versatus et locutus fuerat.

εἰσέλθῃ τὸ θεῖον βάπτισμα, τοῦτο γὰρ αἰνίττεται τὸ τοῦ κεραμίου ὕδωρ, παρὰ τούτῳ καὶ ὁ χριστὸς ἀναπαύεται. καὶ μᾶλλον, εἰ [37]) ἐστρωμμένον ἔχει τὸ ἀνώγεων, ἤγουν κεκαθαρμένον τὸν νοῦν καὶ κεκοσμημένον τῇ φαιδρότητι τῶν ἄνω θεωριῶν. ἐκεῖ δέ φησιν ἑτοιμάσατε ἡμῖν τὰ πρὸς τὴν τοῦ πάσχα ἑορτὴν ἐπιτήδεια, τὸν ἀμνὸν, τὰ ἄζυμα, τὰς πικρίδας, τὰς βακτηρίας.

[Τοῦ ἁγίου Μαξίμου· πόλις μὲν κατ᾽ ἀναγωγὴν, ὁ αἰσθητὸς κόσμος [38]), ἡ καθόλου φύσις τῶν ἀνθρώπων. δύο δὲ μαθηταὶ πρὸς τοῦτον ἀποστελλόμενοι ὁ τῆς παλαιᾶς διαθήκης νόμος καὶ ὁ τῆς καινῆς, οἷον τινες πρόδρομοι καὶ ἑτοιμασταὶ τῆς τοῦ χριστοῦ μυστικῆς εὐωχίας ἐν τοῖς ἀξίοις τῆς ἐπιδημίας αὐτοῦ, ὁ μὲν διὰ τῆς πρακτικῆς φιλοσοφίας παντὸς μολυσμοῦ τούτους ἀποκαθαίρων, ὁ δὲ διὰ τῆς θεωρητικῆς μυσταγωγίας ἀπὸ τῶν σωματικῶν πρὸς τὰ συγγενῆ νοητὰ θεάματα γνωστικῶς ἀναβιβάζων τὸν νοῦν. πρακτικῆς μὲν γὰρ σύμβολον ὁ Πέτρος, θεωρητικῆς ὁ Ἰωάννης. καὶ ὁ μὲν τὸ κεράμιον τοῦ ὕδατος βαστάζων, εἴη ἂν ὁ διὰ τῆς πρακτικῆς τοῖς ὤμοις τῶν ἀρετῶν, ὡς ἐν κεραμίῳ, τῇ νεκρώσει τῶν ἐπὶ γῆς μελῶν τοῦ σώματος φρουρουμένην βαστάζων τὴν διὰ τῆς πίστεως καθαρτικὴν χάριν τοῦ πνεύματος. ὁ δὲ οἰκοδεσπότης νοηθείη ἂν, ὁ διὰ τῆς θεωρητικῆς τὸ ὕψος τῆς ἑαυτοῦ μεγαλοφυοῦς διανοίας καταστρώσας θεοπρεπέσι τε νοήμασι καὶ δόγμασι πρὸς ὑποδοχὴν τοῦ μεγάλου λόγου.

Εἰς τὸ αὐτό. Πόλις μὲν ἡ τοῦ καθ᾽ ἕκαστον ψυχὴ, πρὸς ἣν ἀποστέλλονται παρὰ τοῦ θεοῦ ὅ, τε περὶ ἀρετῆς, καὶ ὁ [39]) περὶ γνώσεως λόγος· ὁ δὲ τὸ κεράμιον τοῦ ὕδατος βαστάζων ἐστὶν, ὁ τοῖς ὤμοις τῆς ἐγκρατείας ἀνέχων τὴν διὰ τοῦ βαπτίσματος δοθεῖσαν χάριν καρτερικὸς τρόπος καὶ λογισμός. οἰκία δὲ ἡ ἐκ πολλῶν καὶ διαφόρων, ὥσπερ λίθων στερρῶν τε [40]) καὶ ἀνδρικῶν ἠθῶν καὶ λογισμῶν οἰκοδομηθεῖσα κατάστασις καὶ ἕξις τῶν ἀρετῶν. τὸ δὲ ἀνώγεων ἡ ὑψηλὴ διάνοια καὶ πρὸς γνῶσιν ἐπιτηδειότης, ἐστρωμμένη θείοις καὶ ἀποῤῥήτοις λόγοις δὲ καὶ θεάμασιν. ὁ δὲ οἰκοδεσπότης ὁ νοῦς, ὁ τῷ λαμπρῷ τῆς κατ᾽ ἀρετὴν οἰκίας ὕψει καὶ τῷ μεγέθει τῆς γνώσεως ἐμπλατυνόμενος, πρὸς ὃν ποιεῖ τὸ πάσχα ὁ κύριος, τουτέστι διάβασιν, ἐπιδημῶν αὐτῷ μετὰ τῶν μαθητῶν αὐτοῦ, λέγω δὴ τῶν περὶ θεοῦ καὶ θείων ὑψηλοτέρων λόγων τὲ καὶ μυήσεων. Haec in margine habet B. et A.]

v. 19.

37) Ἐσταυρωμένον. Cod. A.
38) Post κόσμος recte addit Cod. A. ἄνθρωπος δέ.
39) Ὁ omittit Cod. A.
40) Pro τε καὶ, Cod. A. dat τῶν.

v. 19. Καὶ ἐποίησαν — — — — — ὁ ἰησοῦς.

* * *

Ὡς παρήγγειλε.

v. 19. Καὶ ἡτοίμασαν τὸ πάσχα.

* * *

Τὰ τοῦ πάσχα, τὰ πρὸς τὴν τοῦ πάσχα ἑορτὴν ἐπιτήδεια, καθὼς εἴρηται. Φανερὸν οὖν ὅτι ὁ Χριστὸς ἔφαγε τὸ νομικὸν πάσχα τότε. οὐ γὰρ ἂν μάτην τὰ πρὸς τὴν χρείαν ἡτοίμαζον.

v. 20. Ὀψίας — — — — — δώδεκα.

* * *

Ὀψίαν, τὴν ἑσπέραν εἶπε. καὶ ὁ Λουκᾶς δέ φησιν, ὅτι καὶ ὅτε ἐγένετο ἡ ὥρα, δηλονότι ἡ τῆς ἑσπέρας. ἐντεῦθεν τινὲς ἰσχυρίζονται, μὴ φαγεῖν τότε τὸ νομικὸν πάσχα τὸν Χριστὸν, καὶ παράγουσιν ἀποδείξεις, ὅτι τρισκαιδεκάτη τότε τοῦ μηνὸς ἦν. ἔδει δὲ κατὰ τὴν τεσσαρεσκαιδεκάτην τὸ πάσχα φαγεῖν. καὶ ὅτι ὁ μὲν νόμος ἑστῶτας ἐκέλευεν ἐσθίειν τὸ πάσχα, οὗτος δὲ ἀνέπεσε. καὶ ὅτι πᾶς ἄρτος ζυμωτὸς ἐξῃρεῖτο πρὸ τῆς θυσίας καὶ πυρὶ κατεκαίετο. νῦν δὲ, καὶ ἄρτος παράκειται καὶ διαμερίζεται. καὶ ὅτι ὀπτὸν μόνον θέμις ἦν φαγεῖν. ἐνταῦθα δὲ, καὶ ζωμὸς παρατίθεται. λοιπὸν οὖν πρὸς ἑκάστην ἀπολογίαν ἀπολογητέον. προέλαβε μὲν τὸν καιρὸν ἡμέρᾳ μιᾷ κατ' οἰκονομίαν. ἐπειδὴ γὰρ ἐγίνωσκεν, ὅτι κατὰ τὴν τεσσαρεσκαιδεκάτην ἀποθανεῖται. καὶ γὰρ εἰκὸς ἦν κατὰ τὴν ἡμέραν [41]) τοῦ τυπικοῦ ἀμνοῦ θυσιασθῆναι καὶ τὸν ἀληθινὸν ἀμνὸν, ὅπως καταλλήλως ἐπενεχθῇ τῷ τύπῳ ἡ ἀλήθεια. λοιπὸν κατὰ τὴν τρισκαιδεκάτην ἐσθίει τὸ πάσχα, μὴ ἐγχωροῦντος ἑτέρως τοῦ πράγματος. οὕτω γὰρ καὶ τὸ νομικὸν ἐπλήρωσε πάσχα, καὶ τὸ πνευματικὸν παρέδωκε. καὶ αὐτίκα ἐν αὐτῇ τῇ νυκτὶ συνελήφθη παρὰ τῶν Ἰουδαίων. διὸ καὶ πρὸς τοὺς μαθητὰς εἰπεῖν αὐτὸν ἱστορεῖ Λουκᾶς, ὅτι ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν,

41) Ἡμέραν τῆς τοῦ τυπικοῦ ἀμνοῦ θυσίας θυσιασθῆναι. Cod. A.

παθεῖν, τȣτέςι σπουδῇ ἐσπȣδασα τὸ τȣ̃ ἐνιαυτοῦ τούτου πάσχα Φαγεῖν μεθ᾽ ὑμῶν, μὴ ἀναμείνας τὸν νενομισμένον καιρὸν, ἵνα μὴ τὸ πάθος τȣ̃ ςαυρȣ̃ κωλύσῃ καὶ τὸ νομικὸν δεῖπνον καὶ τὸ μυςικόν. ταῦτα μὲν περὶ τοῦ καιροῦ. περὶ δὲ τοῦ τρόπου τῆς βρώσεως. εἰκὸς πρῶτον μὲν ἑςῶτας Φαγεῖν τὸ πάσχα κατὰ τὸν νόμον, εἶτα ἀναπεσεῖν καὶ δειπνεῖν. ὁ δ᾽ ἄρτος καὶ ὁ ζωμὸς παρετέθησαν μετὰ τὸ Φαγεῖν αὐτοὺς τὸ πάσχα, καὶ ἀναπεσεῖν ἐν τῷ δείπνῳ. ȣ̓́πω γὰρ ἦλθεν ἡ τεσσαρεσκαιδεκάτη, καθ᾽ ἣν ἅπαν ζυμωτὸν ἐξηΦανίζετο. καὶ ȣ̓δὲν ἐκώλυεν ἔτι καὶ ζωμὸν ἐσθίειν. καὶ διατί παρεσιώπησαν οἱ εὐαγγελιςαὶ τὴν τοῦ πάσχα μετάληψιν; διότι οὐκ ἦν ἀναγκαῖον τὸ περὶ ταύτης εἰπεῖν. τί γὰρ ἂν καὶ συνετέλεσε Χριςιανοῖς ἡ ταύτης διήγησις. διὸ ταύτην μὲν παρέδραμον, τοῖς δὲ λόγοις τοῦ μυςικοῦ δείπνου Φιλοπονώτερον προσδιέτριψαν, ὡς ἀναγκαιοτάτου καὶ συνεκτικωτάτου τῆς ἡμῶν πίςεως. καὶ πανταχοῦ δὲ τὸν κανόνα τοῦτον τηρȣ̃σι, τὰ μὴ ἀναγκαῖα μὲν παρατρέχοντες, ἢ κατὰ πάροδον ἐπιμιμνησκόμενοι, πᾶσαν δὲ τὴν ἀκρίβειαν καὶ σπουδὴν περὶ τὰ χρήσιμα συντείνοντες. καὶ ἐπεὶ πρὸ τοῦ πάσχα τὸ πάσχα τετέλεκεν ὁ Χριςὸς, πῶς Ἰȣδαῖοι τὴν προΦανῆ ταύτην κατηγορίαν ἀΦέντες, ἐζήλȣν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ. διότι ἐγίνωσκον ὡς ȣ̓ κεῖται νόμος [42]) καταδικάζων τὸν προεορτάζοντα τὸ πάσχα, πάλαι τȣ̃ θεȣ̃ προειδότος τὸ μέλλον, καὶ μηδέν τι περὶ τούτȣ νομοθετήσαντος. καὶ ὅρα θαυμαςὸν, ὅτι κατὰ μὲν τȣ̃ μεθεορτάζοντος νενομοθέτητο, εἰ μὴ πρόΦασιν ȣ̓́τος ἀναγκαιοτάτην προβάλοιτο [43])· κατὰ δὲ τȣ̃ προεορτάζοντος ȣ̓δὲν ὥριςο ἐπιτίμιον. ὁ δὲ Ἰωάννης Φησὶν, ὅτι ἀναςὰς ἀπὸ τοῦ δείπνȣ, καὶ νίψας τοὺς πόδας τῶν μαθητῶν πάλιν ἀνέπεσε. παρείθη γὰρ τοῖς ἄλλοις εὐαγγελιςαῖς τουτὶ τὸ κεΦάλαιον, οὗ χάριν αὐτὸς ἱςόρησε τὰ περὶ τȣ́τȣ, καθὼς ἐν τῷ εὐαγγελίῳ αὐτοῦ θεοῦ δόντος ἐξηγησόμεθα.

V. 21. Καὶ ἐσθιόντων — — — — παραδώσει με.

* *
*

Ὁ δὲ Μάρκος προσέθηκεν, ὅτι ὁ ἐσθίων μετ᾽ ἐμȣ̃, ἵνα μὴ ὑπολάβωσιν, ὡς ἕνα λέγει τῶν πιςευσάντων μὲν εἰς αὐτὸν, μὴ συνηριθμημένων δὲ τοῖς δώδεκα μαθηταῖς. ἅμα δὲ καὶ πρὸς τὸν Ἰȣ́δαν ἀΦανῶς ἐμαρτύρατο, ὅτι ἔγνω τὴν καρδίαν αὐτοῦ.

42) καταδικάζοντα. Cod. A.
43) προβάλλοιτο. Cod. A.

αὐτοῦ. καὶ γὰρ καὶ τοὺς αὐτοῦ πόδας ἔνιψεν, εἰς μεταμέλειαν αὐτὸν ἐκκαλούμενος, εἰ καὶ σκληρὸς ἔμενε. παράδοσιν δὲ νόει, τὴν προδοσίαν. παρέδωκε γὰρ αὐτὸν εἰς θάνατον, καὶ προδέδωκε τοῦτον τοῖς ἐπιβουλεύουσι.

v. 22. Καὶ λυπούμενοι — — — — — κύριε;

* * *

Ταῦτα καὶ Μάρκος εἴρηκεν. εἵλετο γὰρ ὁ Χριστὸς φοβῆσαι καὶ λυπῆσαι πάντας τοὺς ἄλλους, ὑπὲρ τοῦ ἐπιστρέψαι τὸν ἀπολλύμενον μαθητήν. διατί δὲ οἱ λοιποὶ ἠγωνίων μηδέν τι τοιοῦτον συνειδότες ἑαυτοῖς; διότι σφόδρα τῷ διδασκάλῳ ἐπίστευον, ὡς ἀψευδεστάτῳ, καὶ ἐδεδίεσαν ἕκαστος, μήποτε τοιοῦτος ἀποβῇ, τυφλωθεὶς τὸν νοῦν.

v. 23. Ὁ δὲ — — — — — — παραδώσει.

* * *

Τίθησι καὶ παράσημον εἰς διάγνωσιν αὐτοῦ. Μάρκος δὲ εἶπεν, ὅτι εἷς ἐκ τῶν δώδεκα ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον, ἤγουν ὁ ἐμβάπτων. τοῦτο δ' ἐπήγαγεν ὁ σωτὴρ πρὸς ἐντροπὴν τοῦ Ἰούδα. τοσοῦτον γὰρ τοῦ διδασκάλου κατεφρόνησεν, ὡς μηδ' ὑποστέλλεσθαι τοῦτον ἔτι, ἀλλ' ἐμβάπτειν μετ' αὐτοῦ. τρυβλίον 44) δέ ἐστιν, εἶδος πίνακος.

v. 24. Ὁ μὲν — — — — — παραδίδοται.

* * *

Ὑπάγει, ἀντὶ τοῦ πορεύεται, μεταβαίνει ἀπὸ τῆς ἐνταῦθα ζωῆς. καθὼς γέγραπται τοῖς προφήταις περὶ αὐτοῦ, πῶς μέλλει ἀποθανεῖν.

v. 24. Καλὸν — — — — — — ἐκεῖνος.

* * *

Συμφέρον ἦν αὐτῷ, ἔτι ἐν 45) τῇ κοιλίᾳ τῆς μητρὸς αὔξοντι, μὴ 46) γεννηθῆναι ὅλως, τοιοῦτον μύσος ἐργάσασθαι μέλλοντι,

44) τριβλίον· σκουτέλιον, ὀξυβάφιον. Gloss. Cyrill. τρύβλιον· σκουτέλιον. Lexicon Inedit. Vid. Meurs. Glossarium Graeco-Barbarum p. 510. Erotianus χίλισκον· τρυβλίον.

45) τῇ omittit Cod. A. Mox idem dat αὐξάνοντι, pro αὔξοντι.

46) Μὴ γεννηθῆναι ὅλως omittit Cod. A.

μέλλοντι, καὶ τηλικαύτης ἀξιωθησομένῳ τιμωρίας. Φασὶ δέ τινες ὅτι ἀνέγκλητός ἐςι, τὸ προωρισμένον ἐπιτελέσας. πρὸς οὓς λέγομεν, ὅτι οὐ διότι προώριςο, διὰ τοῦτο παρέδωκεν, ἀλλὰ διότι παρέδωκε, διὰ τοῦτο προώριςο, τοῦ θεοῦ προειδότος τὸ πάντως ἀποβησόμενον· ἔμελλε γὰρ ὄντως ἀποβῆναι τοιοῦτος, οὐκ ἐκ φύσεως, ἀλλ᾽ ἐκ προαιρέσεως. καὶ διατί παρέλαβεν αὐτὸν ὅλως εἰς μαθητὴν ὁ Χριςὸς, τοιοῦτον ἀποβησόμενον; ἵνα φανῇ καὶ τῆς τοῦ σωτῆρος ἀγαθότητος καὶ τῆς τοῦ προδότου κακίας ἡ ὑπερβολή. πῶς ὁ μὲν, τὸν ἑαυτοῦ προδότην ἐδίδασκε τὰ σωτήρια καὶ ἠγάπα καὶ χαρισμάτων ἠξίου, καὶ τῶν ἄλλων οὐκ ἐχώριζε μαθητῶν, καὶ πάντα τὰ πρὸς ἐπιςροφὴν καὶ διόρθωσιν εἰσῆγεν, ἵνα μὴ δυνηθῇ λέγειν ὡς οὐκ ἔτυχε διδασκάλου, δυναμένου σώζειν τοὺς βουλομένους· ὁ δὲ καὶ τούτων πάντων ἀπολαύσας, πάλιν ἔμεινε πονηρός. ἐπεὶ γὰρ τὴν ψυχὴν οἰκητήριον τοῦ διαβόλου πεποίηκε τῆς φιλαργυρίας ἀνοιξάσης καὶ εἰσαγαγούσης αὐτὸν, οὐκ ἐξέφυγε τὸ ἄγος. ὅθεν ὡς οὐκ ἀναγκαςικῶς, ἀλλὰ προαιρετικῶς προδότην γενόμενον ταλανίζει τοῦτον ὁ κύριος, ἐλεῶν μᾶλλον, παρ᾽ οὐδὲν μὲν θέμενον τοὺς πολλοὺς αὐτοῦ περὶ ἀκτημοσύνης λόγους, εὐχείρωτον 47) τῇ φιλαργυρίᾳ καὶ τῷ διαβόλῳ γενόμενον. οὐ δι᾽ ἀσθένειαν τῶν τοῦ διδασκάλου λόγων, οἳ καὶ τελώνας ἐπεσπάσαντο καὶ πόρνας, ἀλλὰ δι᾽ οἰκείαν ἀπροσεξίαν καὶ πονηρίαν. ἀλλ᾽ ἐρεῖ τις πάλιν, ὅτι 48) καὶ εἰ καλὸν ἦν τῷ Ἰούδᾳ εἰ οὐκ ἐγεννήθη, διατί εἴασεν αὐτὸν γεννηθῆναι; διότι οὐ κακὸς ἐγεννήθη, ἀλλὰ κακὸς ἐγένετο, μοχθηρίᾳ γνώμης καὶ φαυλότητι προαιρέσεως. οὐδένα δὲ ὁ θεὸς ἀναγκάζει γενέσθαι καλὸν, εἰ μὴ 49) ἑκὼν εἴη καλός. ἀλλ᾽ ὑποτίθησι μὲν τὰ σωτήρια, καὶ συνεργεῖ τῷ αἱρουμένῳ ταῦτα. συγχωρεῖ δὲ φέρεσθαι ἕκαςον ὡς αὐτεξούσιον ἔνθα βούλοιτο. καὶ ὁ Ἰούδας τοίνυν οὐκ ἐπειδὴ ἐγεννήθη γέγονε κακὸς, ἀλλ᾽ ἐπειδὴ 50) ἐρραθύμησε. διπλῆς δὲ οἱ γινόμενοι πονηροὶ κολάσεως ἄξιοι, διότι τὲ γεγόνασι πονηροὶ, καὶ διότι ἐκ τῶν ἀγαθῶν οὐκ ὠφελήθησαν· ὁμοίως δὲ καὶ οἱ γινόμενοι ἀγαθοὶ, διπλῆς εἰσιν ἄξιοι τιμῆς, διότι τὲ γεγόνασιν ἀγαθοὶ, καὶ διότι οὐκ 51) ἐκ τῶν πονηρῶν ἐβλάβησαν.

V. 25.

47) εὐχείρωτον δὲ τῇ. Cod. A.
48) Καὶ, post ὅτι omittit Cod. A.
49) Ἄκων, pro ἑκὼν dat Cod. A.
50) ἐραθύμησε. Cod. A.
51) οὐκ habet Cod. A. ante ἐβλάβησαν,

v. 25. Ἀποκριθεὶς — — — — — ῥαββί.

* * *

Ὢ τῆς ἀναισχυντίας, ἐρωτᾷ, λαθεῖν τὰς μαθητὰς τέως πειρώμενος. ἐξ ἀρχῆς μὲν γὰρ οὐκ ἠρώτησεν, ὅτε ὁ Χριςὸς εἶπεν εἷς ἐξ ὑμῶν. ᾤετο γὰρ ἔτι λανθάνειν τὸν διδάσκαλον. ὅτε δὲ καὶ παράσημον προσέθηκεν, ἔγνω, ὅτι διέγνωσαι. καὶ λοιπὸν τῶν ἄλλων ἐρωτησάντων, ἐρωτᾷ καὶ αὐτός. θαῤῥῶν τῇ ἐπιεικείᾳ τοῦ διδασκάλου, ὅτι πάντως οὐκ ἐλέγξει προδήλως αὐτόν. διὰ τὰτο γὰρ καὶ ῥαββὶ τὰτον ἐκάλεσεν, ἤτοι διδάσκαλον.

v. 25. Λέγει αὐτῷ, σὺ εἶπας.

* * *

Ὅρα, πῶς ἀνεξικάκως αὐτὸν ἐλέγχει, ὅρες ἡμῖν καὶ κανόνας μακροθυμίας πηγνύς. Φησὶ γαρ, σὺ κατέθου, ὅτι σὺ εἶ. περιαιρουμένου γὰρ τοῦ μήτι, τὸ ἐγώ εἰμι ῥαββὶ, περιλείπεται, κατάθεσιν καὶ ὁμολογίαν ἐμφαῖνον. ὁ μὲν οὖν Χριςὸς ἐδὲν παρέλειψε τῶν εἰς διόρθωσιν συντεινόντων. διὰ τοῦτο γὰρ καὶ διαφόρως ὑπεμίμνησκε καὶ κατεῖχε καὶ δἰ ἔργων, καὶ διὰ λόγων, καὶ διὰ φόβε καὶ διὰ θεραπείας, καὶ διὰ πάντων. ἐπεὶ δὲ ἐδὲν αὐτὸν ἀφίςα τὰ νοσήματος, καὶ παντάπασιν ἀνίατος ἔμενε, λοιπὸν ἐκεῖνον ἀφεὶς, ἐπὶ τὰ ἑξῆς τρέπεται.

v. 26. Ἐσθιόντων — — — — — σῶμά μου.

* * *

Μετὰ τὸ φαγεῖν τὸ νομικὸν πάσχα, κατακλιθέντες ἐδείπνουν, ὡς προείρηται. εἶτα ἀναςὰς ἔνιψε τοὺς πόδας τῶν μαθητῶν, ὡς ὁ Ἰωάννης φησί. καὶ αὖθις ἀναπεσόντες ἤσθιον. ἔπειτα μεταξὺ παρέδωκε τὸ μυςικὸν δεῖπνον τοῖς μαθηταῖς. ἐσθιόντων γὰρ φησιν αὐτῶν, λαβὼν ἄρτον, δηλαδὴ τὸν παρακείμενον αὐτῷ, ἢ καὶ ἕτερον συμπαρακείμενον, ὡς διδασκάλῳ, ἔκλασεν, εἴτουν συνέθρυψε, καὶ μετέδωκεν αὐτοῖς. ὁ δὲ Λεκᾶς γράψας, τὰτό ἐςι τὸ [52]) σῶμα, προσέθηκε, τὸ ὑπὲρ ὑμῶν διδόμενον, ἤγουν παραδιδόμενον εἰς θάνατον. ηὐχαρίςησε δὲ νῦν μὲν πρὸ τὰ ἄρτου, μετὰ τὰτο δὲ καὶ πρὸ τοῦ ποτηρίου, διδάσκων, ὅτι εὐχαριςεῖν

52) Σῶμά μου. Cod. A.

στεῖν δεῖ πρὸ τοῦ τοιούτου μυστηρίου, τελουμένου πρὸς εὐεργεσίαν τῆς ἡμῶν φύσεως. εἰ γὰρ ἡ τοῦ τυπικοῦ ἀμνοῦ θυσία καὶ ὀλοθρεύσεως ἀπαλλαγὴν καὶ δουλείας ἐλευθερίαν τοῖς Ἑβραίοις ἐχαρίσατο, πολλῷ μᾶλλον ἡ τοῦ ἀληθινοῦ τοῖς Χριστιανοῖς. ἅμα δὲ καὶ δεικνύων, ὅτι ἑκὼν ἐπὶ τὸ πάθος ἔρχεται. καὶ προσέτι παιδεύων ἡμᾶς, εὐχαριστεῖν ἐφ᾽ οἷς πάσχομεν. ὥσπερ δὲ οἱ ζωγράφοι ἐπὶ τοῦ αὐτοῦ πίνακος καὶ τὰς γραμμὰς ὑποτιθέασιν [53]) καὶ σκιαγραφοῦσιν, καὶ τὰ χρώματα ἐπιβάλλουσι καὶ μορφοῦσιν, οὕτω καὶ ὁ Χριστὸς ἐπὶ τῆς αὐτῆς τραπέζης καὶ τὸ τυπικὸν καὶ σκιῶδες πάσχα ὑπέγραψε, καὶ τὸ ἀληθινὸν καὶ τέλειον [54]) προσέθηκε. καὶ ἐπείπερ ἡ σφαγὴ τοῦ νομικοῦ ἀμνοῦ τὴν σφαγὴν τοῦ λογικοῦ ἀμνοῦ προεμήνυεν, ἔδει [55]) πάντως τὴν σκιὰν ἀφανισθῆναι φανέντος τοῦ ἡλίου, καὶ τὸν τύπον ὑποχωρῆσαι, τῆς ἀληθείας ἐλθούσης.

[Ἐπὶ τούτων μετάληψις μὲν λέγεται, διότι μεταλαμβάνομεν αὐτῶν· κοινωνία δέ, διότι κοινωνοῦμεν καὶ τῷ Χριστῷ καὶ ἀλλήλοις δι᾽ αὐτῶν, καὶ σύσσωμοι γινόμεθα [56]) Χριστοῦ καὶ μέλη ἀλλήλων. οὔτε δὲ φθείρονται, οὔτε εἰς ἀφεδρῶνα χωροῦσιν, ἀλλ᾽ εἰς σύστασιν ἀναλίσκονται οὐσιώδη τῶν μεταλαμβανόντων. καὶ ὥσπερ οὐχ᾽ ἕτερον παρὰ τὸ πρότερον σῶμα καὶ αἷμα τοῦ μεταλαμβάνοντος γίνονται, οὕτως οὐδὲ πάλιν ἕτερον σῶμα καὶ αἷμα παρὰ τὸ τοῦ δεσπότου [57]) τοῦτο φαμέν. τοῦτο γάρ, φησι, ἐστι τὸ σῶμά μου. (καὶ [58]) αὖθις τοῦτο γάρ ἐστι τὸ αἷμά μου.) ὑπερφυὴς δὲ ὁ λόγος. εἰ δὲ καὶ ὁ μέγας Βασίλειος ἀντίτυπα ταῦτα εἶπε, ἀλλὰ πρὸ τοῦ ἁγιασθῆναι καὶ πρὸ τοῦ τὴν χάριν λαβεῖν. ὅρα δὲ πῶς ἐκ τῶν κατὰ φύσιν ἐν τοῖς ὑπὲρ φύσιν γινόμεθα. κατὰ φύσιν μὲν γὰρ ἡ τοῦ προκειμένου ἄρτου καὶ οἴνου βρῶσις καὶ πόσις, ὑπὲρ φύσιν δέ, ἡ τούτων ἐνέργειά τε καὶ δύναμις. ἔνιψε δὲ πρῶτον τοὺς πόδας τῶν μαθητῶν, εἶτα τούτοις τοῦ μυστηρίου τούτου μετέδωκεν, ἵνα μάθωμεν, ὅτι χρὴ πρῶτον καθαίρεσθαι, εἶτα μεταλαμβάνειν. ἄνθρακα [59]) εἶδεν Ἡσαΐας· ἄνθραξ δέ, οὐ ξύλον ἐστὶν ἁπλῶς, ἀλλὰ πεπυρ-

53) Cod. A. fluctuat inter ἐπιτιθέασι, ἀποτιθέασι, et, quod nihil est, εὐπιτιθέασι.
54) προσέθηκε. Cod. A.
55) πάντων Cod. A.
56) γενόμεθα. Cod. A.
57) τοῦτο, post δεσπότου abest Cod. A.
58) Inclusa omittit Cod. A.
59) Aliud scholium incipit a vocabulo ἄνθρακα, diuersum a priori in Cod. A.

πεπυρακτωμένον. Φωτίζει μὲν τὰς ἀξίους, (Φλέγει [60]) δὲ τοὺς ἀναξίους) κατὰ τὴν διπλῆν τοῦ πυρὸς ἐνέργειαν. Φλέγει δὲ τῷ [61]) κολάζειν καὶ συντήκειν. In margine B. et A.]

v. 27. Καὶ λαβὼν — — — — v. 28. διαθήκης.

* * *

Τῆς καινῆς διαθήκης, ἤτοι τῆς νέας νομοθεσίας. Τὸ μὲν γὰρ αἷμα τοῦ τυπικοῦ ἀμνοῦ τῆς παλαιᾶς ἦν διαθήκης· τὸ δὲ τοῦ ἀληθινοῦ ἀμνȣ͂, τῆς νέας ἐςίν· (ἢ τοῦτο εἶπε [62]) διὰ τὸ αἷμα τὸ τῆς παλαιᾶς διαθήκης. ἐν τῇ Ἐξόδῳ γὰρ μοσχάρια θύσας Μωσῆς, τὸ ἥμισυ τȣ͂ αἵματος ἐνέχεεν εἰς [63]) κρατῆρα, καὶ λαβὼν τὸ βιβλίον τῆς διαθήκης ἀνέγνω εἰς τὰ ὦτα τȣ͂ λαοῦ, καὶ εἶπαν, πάντα, ὅσα ἐλάλησε κύριος, ποιήσομεν καὶ ἀκȣσόμεθα. λαβὼν δὲ Μωσῆς τὸ αἷμα κατεσκέδασε τȣ͂ λαοῦ καὶ εἶπεν· ἰδοὺ τὸ αἷμα τῆς διαθήκης, ἧς διέθετο κύριος πρὸς ὑμᾶς περὶ πάντων τῶν λόγων τȣ́των· ἦν οὖν ἐκεῖνο τὸ αἷμα σφραγὶς τῆς διαθήκης καὶ μαρτύριον καὶ βεβαίωσις τῆς συνθήκης τȣ͂ λαοῦ.)

v. 28. Τὸ περὶ πολλῶν ἐκχυνόμενον.

* * *

Περὶ πολλῶν, ἀντὶ τȣ͂ ὑπὲρ πολλῶν. ἐκεῖνο μὲν γὰρ τὸ αἷμα ὑπὲρ τῶν Ἑβραίων μόνων ἐξεχεῖτο· τοῦτο δὲ, ὑπὲρ πάντων ἀνθρώπων. πολλοὺς γὰρ τοὺς πάντας ἐνταῦθα [64]) καλεῖ. καὶ γὰρ οἱ πάντες, πολλοί, ἢ πολλῶν εἶπε, πρὸς σύγκρισιν τȣ͂ τῶν Ἑβραίων ἔθνȣς. πλείους γὰρ αὐτῶν, οἱ ἐξ ἁπάντων ἐλευθερȣ́μενοι καὶ σωζόμενοι, δι᾽ οὓς ὁ Χριςὸς ἀπέθανεν.

v. 28. Εἰς ἄφεσιν ἁμαρτιῶν.

* * *

Ἐκεῖνο μὲν γὰρ εἰς σωτηρίαν τῶν πρωτοτόκων μόνον [65]) ἐξεχεῖτο· τȣ͂το δὲ, εἰς ἄφεσιν ἁμαρτιῶν τῶν πάντων ἀνθρώπων.

60) Inclusa omittit Cod. A.
61) τὸ κολάζειν. Cod. A.
62) Inclusa in calce paginae habet Cod. A.
63) Εἰς τὸν κρατῆρα. Cod. A.
64) Λέγει, pro καλεῖ Cod. A.
65) Ἐξεχεῖτο. Cod. A.

θρώπων. ὅρα πόσον εἰσὶ μείζονα τῶν παλαιῶν τὰ νέα μυστήρια. προσφυέστατα δὲ νῦν διαθήκην ὠνόμασε, διὰ τὸν προσεγγίζοντα θάνατον. διατίθενται γὰρ οἱ ἀποθνήσκοντες. ὥσπερ οὖν ἡ παλαιὰ διαθήκη θύματα καὶ αἵματα εἶχεν, ὅτως ἄρα καὶ ἡ καινὴ, τὸ σῶμα καὶ τὸ αἷμα τοῦ δεσπότου· οὐκ εἶπε δὲ, ὅτι ταῦτά εἰσι σύμβολα τοῦ σώματός μου καὶ τοῦ αἵματός μου, ἀλλ' ὅτι ταῦτά εἰσιν αὐτὸ τὸ σῶμά μου καὶ αὐτὸ τὸ αἷμά μου. λοιπὸν οὖν, χρὴ μὴ πρὸς τὴν φύσιν τῶν προκειμένων ὁρᾶν, ἀλλὰ πρὸς τὴν δύναμιν αὐτῶν. ὥσπερ γὰρ ὑπερφυῶς ἐθέωσε τὴν προσληφθεῖσαν σάρκα, ὅτως ἀπορρήτως μεταποιεῖ καὶ ταῦτα εἰς αὐτὸ τὸ ζωοποιὸν αὐτοῦ σῶμα, καὶ εἰς αὐτὸ τὸ τίμιον αὐτοῦ αἷμα, καὶ εἰς τὴν χάριν αὐτῶν. ἔχουσι δέ τινα καὶ ὁ ἄρτος πρὸς τὸ σῶμα καὶ ὁ οἶνος πρὸς τὸ αἷμα ἐμφέρειαν. καὶ ὁ ἄρτος γὰρ καὶ τὸ σῶμα γεώδη, καὶ ὁ οἶνος καὶ τὸ αἷμα θερμαντικά. καὶ ὥσπερ ὁ ἄρτος στηρίζει, ὅτω καὶ τὸ σῶμα τοῦ Χριστοῦ τοῦτό τε ποιεῖ, καὶ πλέον, ἁγιάζει καὶ σῶμα καὶ ψυχήν. καὶ ὥσπερ ὁ οἶνος εὐφραίνει, ὅτω καὶ τὸ αἷμα τοῦ Χριστοῦ τοῦτό τε ποιεῖ, καὶ πλέον, γίνεται φυλακτήριον. εἰ δ' ἑνὸς σώματος καὶ αἵματος οἱ πάντες πιστοὶ μεταλαμβάνομεν, οἱ πάντες ἕν ἐσμεν διὰ τῆς αὐτῆς τῶν αὐτῶν μυστηρίων μεταλήψεως, καὶ ἐν Χριστῷ πάντες καὶ ὁ Χριστὸς ἐν πᾶσιν. ὁ τρώγων μου γὰρ, φησι, τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. ὁ μὲν γὰρ λόγος ἡνώθη τῇ σαρκὶ διὰ τῆς προσλήψεως. αὕτη δὲ πάλιν ἑνοῦται ἡμῖν διὰ τῆς μεταλήψεως. αἵματος δὲ καὶ διαθήκης μνημονεύσας, τὸν θάνατον αὐτοῦ πάλιν ἐνέφηνε, τῇ πυκνότητι τῆς μνήμης εὐπαράδεκτον αὐτοῖς τοῦτον καθιστῶν. εἰ γὰρ καὶ πολλάκις τοῦτο προκαταγγελθέντος ὅμως παρ' αὐτὸ τὸ πάθος ἐθορυβήθησαν, τί οὐκ ἂν ἔπαθον μηδὲν προμαθόντες. Λουκᾶς δὲ λέγει, καὶ τοῦτο εἰπεῖν τότε τὸν κύριον, ὅτι τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, τοῦτό, φησι, τὸ καινὸν μυστήριον, καὶ μὴ ἐκεῖνο τὸ παλαιόν. ἐκεῖνο μὲν γὰρ τὸ θυσίασμα εἰς ἀνάμνησιν ἐγίνετο τῆς ἐν Αἰγύπτῳ σωτηρίας τῶν Ἑβραϊκῶν πρωτοτόκων καὶ τῆς τῶν Ἑβραίων ἐλευθερίας· τοῦτο δὲ εἰς ἀνάμνησιν τοῦ δεσπότου. διὰ τῆς τοιαύτης γὰρ θυσίας ἀναμιμνησκόμεθα, ὅτι τὸ σῶμα αὐτοῦ παρέδωκεν εἰς θάνατον ὑπὲρ ἡμῶν, καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεε. καὶ τῇ συνεχείᾳ τὴν μνήμην ἀνανεούμεθα. εἶδες πῶς μετέθηκε τοὺς μαθητὰς ἀπὸ τῆς παλαιᾶς θυσίας ἐπὶ τὴν καινήν. ποία γὰρ εἰκόνος ἔτι χρεία τοῖς ἤδη τὸ πρωτότυπον ἔχουσι. Φησὶ δὲ ὁ Χρυσόστομος, ὅτι καὶ ὁ Χριστὸς πρῶτος τότε μετέσχε τοῦ μυστηρίου, ἵνα μὴ ἀνδισθῶσι,

σθῶσι, σαρκὸς καὶ αἵματος μεταλαβεῖν ἐπιτρεπόμενοι, καὶ τούτου δὲ τεκμήριον, τὸ εἰπεῖν αὐτόν·

v. 29. Λέγω — — — — — — πατρός μȣ.

* *
*

Εἰ δὲ τοῦ ποτηρίου μετέσχε, μετέλαβεν ἄρα καὶ τοῦ ἄρτου. τὸ μὲν οὖν ἀπάρτι, σημαίνει τὸ ἀπὸ τοῦ νῦν. ἡμέραν δὲ ἐκείνην λέγει, τὸν μετὰ τὴν ἀνάστασιν αὐτοῦ καιρὸν, ὅτε ἔφαγε καὶ ἔπιε μετὰ τῶν μαθητῶν, ὃ καὶ αὐτοὶ ποιȣμενοι τῆς ἀναστάσεως αὐτοῦ ἀπόδειξιν ἔλεγον, 66) οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ. καινὸν δὲ, ἀντὶ τοῦ καινῶς καὶ παραδόξως. τοῦ σώματος γὰρ ἀθανατισθέντος, καὶ μηκέτι δεομένȣ βρώσεως ἢ πόσεως, ἔφαγε καὶ ἔπιεν, ȣ̓ διὰ χρείαν, ἀλλὰ διὰ 67) πληροφορίαν, τοῦ μὴ φάσμα δοκεῖν. βασιλείαν δὲ καλεῖ τὴν δοθεῖσαν αὐτῷ ἐξȣσίαν ὡς ἀνθρώπῳ μετὰ τὴν ἀνάστασιν. ἐδόθη μοι γάρ φησι, πᾶσα ἐξουσία ἐν ȣ̓ρανῷ καὶ ἐπὶ γῆς. τοῦ πατρός μου δὲ, τουτέστι τῇ ὑπὸ τοῦ πατρός μου δοθείσῃ μοι. τοῦτο δὲ εἶπε, καὶ διότι πρὸς αὐτὸν ἀναφέρει πάντα τὰ ἑαυτοῦ. ὁμοίως δὲ καὶ Μάρκος ἔγραψεν, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεȣ̃. καὶ μὴν καὶ Λουκᾶς, ἕως ὅτου ἡ βασιλεία τοῦ θεȣ̃ ἔλθῃ. βασιλείαν καὶ οὗτοι τὴν δηλωθεῖσαν λέγοντες ἐξουσίαν. ὁ δὲ Λουκᾶς ἔτι καὶ περὶ τοῦ νομικοῦ πάσχα φησὶν εἰπεῖν τὸν Χριστὸν, ὅτι οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεȣ̃, δηλαδὴ, τῇ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα. καὶ τότε γὰρ ἐπιτελέσει τὸ πάσχα τελεώτερόν τε καὶ καθαρώτερον, θύον τὸν ἀπόρρητον λόγον τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος, τῇ μαχαίρᾳ τῆς διδασκαλίας. καὶ διαιρῶν αὐτὸν καὶ διανέμων τοῖς ἀξίοις τῆς τοιαύτης μυσταγωγίας. τίς δὲ ἡ 68) πόσις καὶ ἡ ἀπόλαυσις; ἡμῶν μὲν τὸ μαθεῖν, ἐκείνου δὲ, τὸ διδάξαι καὶ κοινώσασθαι τοῖς ἑαυτοῦ μαθηταῖς τὸν λόγον, ὡς ὁ θεολόγος φησὶ Γρηγόριος, κάλλιστα περὶ τοῦ τοιούτου πάσχα φιλοσοφήσας. ἀλλὰ καὶ περὶ τȣ́των μὲν εἰς τοσοῦτον. τὰ δὲ τοῦ Λουκᾶ ῥητὰ μεταχειριστέον καὶ συμβιβαστέον ὡς οἷόντε. λέγει γὰρ ἐκεῖνος τὸν Χριστὸν πρῶτον μὲν λαβεῖν ποτήριον καὶ εὐχαριστῆσαι καὶ εἰπεῖν, λάβετε τȣ̃το καὶ διαμερίσατε ἑαυτοῖς, εἶτα λαβεῖν ἄρτον καὶ εὐχαριστῆσαι καὶ διανεῖμαι. ὡσαύτως 69) δὲ

66) Ὅτι, pro οἵτινες dat Cod. A.
67) Διὰ omittit Cod. A.
68) Ποσότις, pro πόσις. Cod. A.
69) Δὲ omittit Cod. A.

καὶ τὸ ποτήριον καὶ δοκεῖ περὶ δύο ποτηρίων λέγειν. οὐκ ἔςι δὲ τοῦτο, ἀλλὰ πρῶτον μὲν ἔλαβε ποτήριον καὶ ηὐχαρίςησε καὶ εἶπε· λάβετε τοῦτο καὶ διαμερίσατε ἑαυτοῖς, εἶτα προσθεὶς, ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ, τῷ φόβῳ τοῦ θανάτου αὐτοῦ διετάραξεν αὐτοὺς, οἷα δὲ εἰκὸς διατριβῆς καὶ συγχύσεως γενομένης ἀπέθετο τὸ ποτήριον, εἶτα καιροῦ τινὸς διελθόντος, γεγόνασι τὰ ἑξῆς, ἥ τε τοῦ ἄρτου καὶ ἡ τοῦ ποτηρίου μετάδοσις. εἰπὼν γὰρ ὁ εὐαγγελιςὴς περὶ τοῦ ἄρτου, ὅτι εὐχαριςήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς, εἶτα ἐπαγαγὼν, ὅτι ὡσαύτως καὶ τὸ ποτήριον, ἔδειξεν, ὅτι ἐκεῖνο τὸ ποτήριον, ὃ πρότερον ἔλαβεν. οὐκ εἶπε γὰρ ὅτι ὡσαύτως καὶ ποτήριον, ἀλλ᾽ ὅτι ὡσαύτως καὶ τὸ ποτήριον, τῇ προσθήκῃ τοῦ ἄρθρου τὸ προεγνωσμένον δηλώσας. τὸ δὲ τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου. εἰ καὶ δοκεῖ δύσφρασιν, ἀλλ᾽ οὐδὲν διαφέρει τοῦ λόγου τοῦ ῥηθέντος ὑπὸ Ματθαίου καὶ Μάρκου. ἐκεῖνοι μὲν γὰρ εἶπον, τοῦτο ἐςὶ τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τουτέςι, ὃ ἡ καινὴ διαθήκη παραδίδωσιν. οὗτος δέ φησιν ὅτι τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐςὶν, ἣν ἐγὼ διατίθεμαι νῦν, ἐντελλόμενος ὑμῖν οὕτω ποιεῖν, καινὴ δὲ τοῦτο διαθήκη ἐςὶν, ἐν τῷ αἵματί μου· ἡ γὰρ παλαιὰ διαθήκη ἀλόγου ζώου αἷμα εἶχεν. ὁμοίως δὲ καὶ τὸ, πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με, μετ᾽ ἐμοῦ ἐπὶ τῆς τραπέζης, ὅμοιόν ἐςι τῷ, ὁ ἐσθίων μετ᾽ ἐμοῦ, ἢ τῷ, ὁ ἐμβάψας μετ᾽ ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα. τέθεικε δὲ τοῦτο Λουκᾶς μὲν μετὰ τὴν τοῦ ποτηρίου καὶ τοῦ ἄρτου διανομὴν, Ματθαῖος δὲ καὶ Μάρκος πρὸ ταύτης. καὶ φαίνεται ὅτι δὶς εἶπε τοῦτο Χριςὸς, πρό τε τῆς μεταδόσεως τῶν μυςηρίων, ὅτε καὶ ἐν τῷ τρυβλίῳ βάπτοντες ἤσθιον, καὶ μετὰ τὴν μετάδοσιν, ὅτε τὸ τρυβλίον αὖθις [70] παρετέθη. καὶ τοῦτο δὲ πολλῆς ἄξιον ἀπορίας, πῶς τοῦ Ματθαίου φήσαντος, ὅτι ὁ Χριςὸς πρὸ τῆς διανομῆς τῶν μυςηρίων ἐφανέρωσε τὸν προδότην, ἀποκριθεὶς πρὸς αὐτὸν τὸ, σὺ εἶπας, αὖθις ὁ Ἰωάννης μετὰ τὴν διανομὴν ἀγνοοῦντας ἱςορεῖ τοὺς μαθητὰς καὶ ἀπορουμένους ὅτε καὶ ἑαυτὸν ὑπὸ Πέτρου παρορμηθέντα διερωτῆσαι λέγει τὸν διδάσκαλον καὶ δοθῆναι σημεῖον τὸ βαφὲν ψωμίον. δῆλον [71]) γὰρ, ὡς ὕςερον τοῦτο γέγονε. λαβὼν γάρ φησι τὸ ψωμίον ἐκεῖνος, εὐθέως ἐξῆλθε. τοῖς μὲν οὖν ἄλλοις ἐξηγηταῖς οὐδεμιᾶς ἐπιςασίας ἠξιώθη τὸ παρὸν ζήτημα. φιλοπονήσασι δὲ ἡμῖν, ὃ διεγνώσθη, ῥηθήσεται. νενοήκαμεν γὰρ, ὅτι πρὸ τοῦ ἄρτου

70) Αὖθις μετετέθη. Cod. A.
71) Δῆλον γὰρ, ὡς. Haec omittit Cod. A.

ἄρτου καὶ τοῦ ποτηρίου τῶν μαθητῶν κοινῶς ἐρωτησάντων, ὁ Χριςὸς πρῶτον μὲν ἔδωκε γνώρισμα κοινότερον τὸ, ὁ ἐμβάψας μετ᾽ ἐμοῦ, καὶ ὁ ἐμβαπτόμενος. καὶ γὰρ πάντες καὶ ἐνέβαψαν καὶ ἐνεβάπτοντο [72]) ἔτι. εἶτα τοῦ προδότου ἰδικῶς ἐρωτήσαντος, προσέθηκεν ἰδικώτερον τὸ, σὺ εἶπας. ἀλλὰ τὸ μὲν πρῶτον γνώρισμα πλεῖον συνεσκίαςο, τὸ δεύτερον δὲ, ἔλαττον. ὅμως δὲ καὶ τοῦτο συνεσκίαςο διὰ φιλανθρωπίαν, ὡς ἂν ἀπό τε τοῦ κοινοτέρου καὶ τοῦ ἰδικωτέρου γνοὺς [73]) Ἰούδας, ὅτι οὐ λέληθε, μεταμεληθείη πρὸ τοῦ διαγνωσθῆναι τοῖς ἄλλοις μαθηταῖς. ἀλλ᾽ οὗτοι μὲν οὔτε ἀπὸ τοῦ πρώτου γνωρίσματος, οὔτε ἀπὸ τοῦ δευτέρου δυνηθέντες νοῆσαι, τίς ὁ προδότης ἐςὶ, τὸ γὰρ, σὺ εἶπας, αἰνίγματι ἐῴκει. οὐδὲ γὰρ ἐκ τοῦ προφανοῦς ὡμολόγησεν, ὅτι ἐγώ εἰμι, ἀλλὰ κατ᾽ ἐρώτησιν, μήτι ἐγώ εἰμι, ἡσύχασαν, μήποτε [74]) καὶ προσονειδισθῶσιν ὡς ἀνόητοι. καὶ γὰρ καὶ ἄλλοτε τοῦτο πεπόνθασιν. Ἰούδας δὲ ἀπὸ τοῦ δευτέρου γνωρίσματος συνῆκε μὲν, ὅτι διεγνώσθη τῷ Χριςῷ. λογισάμενος δὲ, ὅτι οὔπω τέως τοῖς μαθηταῖς πεφανέρωται, μὴ νενοηκόσιν ἔτι, τὸν ἀγνοοῦντα προσεποιεῖτο, τῆς τοῦ διδασκάλου καταθαρρῶν ἀνεξικακίας. μετὰ δέ γε τὴν τῶν μυςηρίων διανομὴν, πάλιν ὁ σωτὴρ ἐμαρτύρησεν, ἤγουν διεμαρτύρατο περὶ τῆς προδοσίας, ὡς ὁ Ἰωάννης ἔγραψεν, ἵνα ὁ Ἰούδας τοσαύτης ἀξιωθεὶς μακροθυμίας, καὶ μὴ προδήλως παραδειγματισθεὶς, [75]) μηδὲ τῶν μυςηρίων ἀπελαθεὶς, ἀλλὰ καὶ τούτων ἐπίσης τοῖς [76]) μαθηταῖς μετασχὼν, γένηται βελτίων καὶ σωφρονέςερος. εὐθὺς δὲ οἱ μαθηταὶ μηκέτι δυνηθέντες καρτερεῖν ἐπὶ πλεῖον, καὶ γὰρ ἠγωνίων, καὶ ἔβλεπον εἰς ἀλλήλους ἀπορούμενοι, περὶ τίνος λέγει, αὐτοὶ μὲν καὶ οὕτως οὐκ ἐτόλμησαν τὴν ἐρώτησιν, δι᾽ ἣν εἰρήκαμεν αἰτίαν. τῷ Ἰωάννῃ δὲ ταύτην ἐπέτρεψεν ὁ Πέτρος, ὡς ἠγαπημένῳ μάλιςα τῷ διδασκάλῳ, καὶ ἀνακειμένῳ τηνικαῦτα ἐν τῷ κόλπῳ αὐτοῦ. ὁ δὲ μεταςραφεὶς καὶ ἐπιπεσὼν ἐπὶ τὸ ςῆθος αὐτοῦ, μετ᾽ εὐλαβείας ἠρώτησεν εἰς τὸ οὖς, καὶ λοιπὸν ὁ σωτὴρ συνιδὼν, ὅτι ἀνίατος ὁ Ἰούδας μένει, οὐδ᾽ οὕτω μὲν ἐθριάμβευσεν αὐτόν. ἀπεκρίθη δὲ καὶ αὐτὸς εἰς τὸ οὖς, ὅτι ἐκεῖνός ἐςιν, ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω. καὶ ἐμβάψας τὸ ψωμίον ἐπιδίδωσιν. Ἰούδας δὲ λαβὼν τὸ ψωμίον, καὶ γνοὺς, ὅτι τεκμήριον ἦν ἀπὸ

72) Ἔτι omittit Cod. A.
73) Ὁ Ἰούδας. Cod. A.
74) Καὶ omittit Cod. A.
75) Καὶ μηδὲ. Cod. A.
76) Τῶν μαθητῶν. Cod. A.

ἀπό τε τῆς τοῦ Χριςοῦ πρὸς Ἰωάννην κρυφίας κοινολογίας καὶ ἀπὸ τοῦ μόνῳ αὐτῷ τοιοῦτον ψωμίον δοθῆναι. ἕτερον γὰρ ἦν τοῦτο παρὰ τὸν διαμερισθέντα πᾶσιν ἄρτον, καὶ προσέτι ἀκούσας, [77]) ὃ ποιεῖς, ποίησον τάχιον, τουτέςι, ὃ σῷ λογισμῷ ποιεῖς, ποίησον καὶ τῷ ἔργῳ. ἤγγισε γὰρ ὁ καιρὸς, εἰ καὶ ἔτι τοῖς μαθηταῖς καὶ τὰ περὶ τοῦ ψωμίου ἠγνόητο, πρὸς μόνον ῥηθέντα κρυφίως τὸν Ἰωάννην καὶ ὁ λόγος ἄδηλος ἦν πρὸς τί ἐῤῥήθη. τινὲς γὰρ, φησιν, ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς, ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτὴν, ἢ τοῖς πτωχοῖς ἵνα τί δῷ. καὶ τοῦτο μὲν οὐκ ἐνεγκὼν τὴν αἰσχύνην, ὑπέλαβε γὰρ ἤδη πᾶσι φανερωθῆναι, τοῦτο δὲ καὶ φοβηθεὶς τοὺς μαθητὰς, μήπου καὶ διασπαράξωσιν αὐτὸν, εὐθέως ἐξῆλθε καὶ πρὸς τοὺς ἐπιβούλους ἀπῆλθε. ταῦτα δὲ πάντα μόνος ὁ Ἰωάννης ἀπήγγειλεν, ὡς παραλελειμμένα τοῖς ἄλλοις. τὸ δὲ ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτὴν, ἀπορίαν πολλοῖς τῶν ἐξηγητῶν ἐνεποίησε. τὴν γὰρ τοῦ πάσχα ἤδη ἑώρτασαν, ὡς προείρηται. δῆλον οὖν, ὅτι τινὲς μὲν τῶν μαθητῶν ἔμαθον τὸν σκοπὸν τοῦ διδασκάλου, καθ᾽ ὃν προεώρτασε τὸ πάσχα· τινὲς δὲ ἀγνοοῦντες, ἐδόκουν ὅτι ἔτι τοῦτο ἑορτάσει καὶ κατὰ τὴν παρασκευὴν, ἢ καὶ τὴν τῶν ἀζύμων ἑορτὴν ὑποληπτέον. διατί δὲ λέγεται ἀγαπᾶν τὸν Ἰωάννην ὁ κύριος, καὶ διατί ἀνέκειτο ἐν τῷ κόλπῳ αὐτοῦ, ῥηθήσεται θεοῦ διδόντος ἐν τῇ ἐξηγήσει τοῦ κατὰ Ἰωάννην εὐαγγελίου. εἰ δὲ Λουκᾶς μέν φησιν εἰσελθεῖν τὸν σατανᾶν εἰς Ἰούδαν πρὸ τοῦ συλλαλῆσαι τοῖς ἀρχιερεῦσι καὶ ςρατηγοῖς περὶ προδοσίας, [78]) Ἰωάννης δὲ μετὰ τὸ ψωμίον, οὐκ ἐναντιολογοῦσι. πρότερον μὲν γὰρ ὁ σατανᾶς ἀπόπειραν ἐποιήσατο, καὶ διεκωδώνισε [79]) τὸν ἄθλιον, ὕςερον δὲ γνοὺς ἀφορισθέντα ὡς ἀδιόρθωτον, θαῤῥήσας ἐπεπήδησεν, οὐ τῶν θείων δὲ μυςηρίων καταφρονήσας εἰσεῤῥύη. πῶς γάρ; ἀλλ᾽ ἀνάξιον αὐτὸν εἰδὼς τῆς

77) Ὅτι ὃ. Cod. A.

78) Ἰωάννη sic Cod. A.

79) Vide de hoc vocabulo Harpocrat. p. 51. et Ariſtoph. Ran. v. 79. et 735. Priori in loco Ariſtophanis ſcholium Cod. Moſq. dat δοκιμάσω, ἐκ μεταφορᾶς τῶν νομισμάτων. Ibid. in ſcholiis editis corrige ψοφοδεεῖς, pro ψοφώδεις. Altero in loco ſcholia Cod. Moſq. habent ἐξητασμένοις. Lexicon ineditum: διακωδωνισθέντες, ἤτοι διαφημισθέντες. ὡς ἐπὶ τὸ πλεῖστον δὲ λέγεται ἐπὶ τῶν διαπαιζομένων. (Hactenus conſentit quoque Gloſſar. Cyrill.) τέτακται καὶ ἐπὶ τὸ, διαπειρασθέντες. οὕτως Λυσίας ὁ ῥήτωρ. ἀπὸ δὲ τῶν ἵππων μετενήνεκται. εἰώθασι γὰρ οὕτω δοκιμάζειν τοὺς γενναίους ἵππους, εἰ μὴ καταπλήσσονται τὸν ἐν πολέμῳ θόρυβον, τοὺς κώδωνας ψοφοῦντες.

τῆς τούτων μεταλήψεως καὶ μηδὲν ἐντεῦθεν ὠφελημένον.

v. 30. Καὶ ὑμνήσαντες — — — — ἐλαιῶν.

* *
*

Ἠυχαρίστησε μὲν πρὸ τῆς διανομῆς, ὕμνησε δὲ, μετὰ τὴν διανομὴν, ἵνα καὶ ἡμεῖς ἔτω ποιῶμεν εὐχαριστοῦντες καὶ δοξάζοντες τὸν Θεὸν, τὸν ἀξιοῦντα ἡμᾶς τοιούτων ἀγαθῶν. ἐξῆλθε δὲ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἵνα μὴ δόξῃ κρύπτεσθαι, καὶ ἵνα μὴ στάσις ἐν τῇ πόλει γένηται δι' αὐτόν. τὸ δὲ ὄρος τῶν ἐλαιῶν πέραν τοῦ χειμάρρου τῶν κέδρων ἦν κατὰ τὴν Ἰωάννου γραφὴν, ὅπου ἦν καὶ κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ· ἤδει δέ φησι καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. δῆλον οὖν ὅτι τὰ πολλὰ ἔξω διενυκτέρευεν ἐν τοῖς ὄρεσι. τοῦτο μὲν εὐχῆς ἀπερισπάστου χάριν, τοῦτο δὲ καὶ ἵνα κοινωνῇ τοῖς μαθηταῖς λόγων μυστικωτέρων. πρὸ μέντοι τοῦ ἐξελθεῖν εἰς τὸ ὄρος πολλὰ εἶπεν, ὧν τὰ μὲν ὁ Λουκᾶς, τὰ δὲ ὁ Ἰωάννης ἱστόρησαν.

v. 31. Τότε λέγει — — — — — ποίμνης.

* *
*

Σκανδαλισθήσεσθε, ἀντὶ τοῦ σαλευθήσεσθε τὴν εἰς ἐμὲ πίστιν, ἤγουν φεύξεσθε. τοῦ προφήτου δὲ Ζαχαρίου τὸ ἑξῆς ῥητόν. λέγεται δὲ ὁ πατὴρ πατάξαι τὸν υἱὸν, ὡς παταγῆναι αὐτὸν συγχωρήσας, εἴτουν ἀναιρεθῆναι. δηλοῦται δὲ καὶ [80]) ἐντεῦθεν, ὅτι κατὰ γνώμην τοῦ πατρὸς ἀναιρεθήσεται διὰ τὴν οἰκονομίαν.

v. 32. Μετὰ δὲ — — — — — Γαλιλαίαν.

* *
*

Προειπὼν τὰ λυπηρὰ, προλέγει καὶ τὰ παραμυθούμενα. προάξω δὲ, ἀντὶ τοῦ προλάβω ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ἐκεῖ ἐκδεχόμενος.

v. 33.

80) Καὶ omittit Cod. A. addit autem mox ante ὅτι.

v. 33. Ἀποκριθεὶς — — — σκανδαλισθήσομαι.

* * *

Δέον μάλιστα δεηθῆναι καὶ εἰπεῖν, κύριε βοήθησον ἡμῖν, ὁ δὲ τρία ὁμοῦ πταίει. πρῶτον, ὅτι ἀντεῖπε καὶ τῷ προφήτῃ καὶ τῷ Χριστῷ· δεύτερον, ὅτι τῶν ἄλλων ἑαυτὸν [81]) προσέθηκε· τρίτον, ὅτι ἑαυτῷ μόνῳ, καὶ οὐ τῇ βοηθείᾳ τοῦ θεοῦ τεθάῤῥηκε. διὸ καὶ συγχωρεῖται πεσεῖν, ἵνα συσταλῇ, καὶ μάθῃ, μὴ σφόδρα θαῤῥεῖν ἑαυτῷ, καὶ παιδευθῶσι καὶ ἕτεροι, ὅπερ δέ φησι Λουκᾶς, ὅτι Σίμων Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξητήσατο ὑμᾶς καὶ τὰ ἑξῆς, καθ' ἕτερον εἶπε καιρὸν, πρὸ τοῦ ἐξελθεῖν εἰς τὸ ὄρος τῶν ἐλαιῶν. διὸ καὶ ἑτέρου λόγου εἰσὶν ἐκεῖνα.

v. 34. Ἔφη — — — — — — ἀπαρνήσῃ με.

* * *

Πρὶν ἀλέκτορα φωνῆσαι, ἀντὶ τοῦ πρὶν τὰς φωνὰς πληρῶσαι τῆς ἀγωγῆς· εἴωθε γὰρ ὁ ἀλέκτωρ καθ' ἑκάστην ἀγωγὴν πολλάκις φωνεῖν, εἶτα διαναπαύεσθαι, καὶ μετά τινα καιρὸν πάλιν ἀφ' ἑτέρας ἀρχῆς φωνεῖν. τοῦτο δὲ Μάρκος ἐσαφήνισεν εἰπὼν, σὺ σήμερον ἐν τῇ νυκτὶ ταύτῃ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. ἄρνησιν δὲ λέγει, τὴν τοῦ μὴ εἰδέναι αὐτόν. φησὶ γὰρ ὁ Λουκᾶς, οὐ μὴ φωνήσῃ σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.

v. 35. Λέγει — — — — — — ἀπαρνήσομαι.

* * *

Ὅσον διαβεβαιοῦται ὁ Χριστὸς, τοσοῦτον ὁ Πέτρος ἀντισχυρίζεται. σφοδρὸν γὰρ ἐν αὐτῷ τὸ πάθος τῆς ἐφ' ἑαυτῷ πεποιθήσεως. διὸ καὶ χαλεπὸν ὑφίσταται ναυάγιον, ἔρημος τῆς παρὰ θεοῦ βοηθείας ἀπολειφθεὶς, καὶ ἐλεγχθεὶς ὅτι ἀσθενής ἐστιν. ὅρα γοῦν μετὰ ταῦτα, πῶς κατεσταλμένος ἐστί. καὶ γὰρ μετὰ τὴν ἀνάστασιν εἰπὼν περὶ τοῦ Ἰωάννου, [82]) κύριε οὗτος δὲ τί; καὶ ἐπιστομισθεὶς αὐτίκα σεσίγηκε. καὶ πρὸ τῆς ἀναλήψεως ἀκούσας, οὐχ ὑμῶν ἐστὶ γνῶναι χρόνους ἢ καιροὺς, ὁμοίως ἡσύχασε. καὶ μετὰ ταῦτα ἐπὶ τῆς ὀθόνης ἐνωτισθεὶς, ὅτι ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου, καὶ οὐδὲ σαφῶς εἰδὼς τὸ ῥηθὲν, ὅμως οὐκ ἐτόλμησεν ἀντειπεῖν. ταῦτα δὲ πάντα τὸ πτῶμα ἐκεῖνο τῆς ἀρνήσεως κατώρ-

81) Προὔθηκε. Cod. A.
82) Pro κύριε, dat καὶ Cod. A.

κατώρθωσε. καὶ πρὸ τούτου μὲν ἑαυτῷ τὸ πᾶν τῆς πίστεως ἀνετίθει, λέγων, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι, καὶ οὐ μή σε [83]) ἀπαρνήσομαι, δέον παρακιρνᾶν τοῖς λόγοις, ὅτι ἐὰν ἔχω σε βοηθόν· ὕστερον δὲ ἐπὶ τοῦ χωλοῦ διαῤῥήδην ἔλεγεν, ὅτι ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν. ἐντεῦθεν οὖν μέγα δόγμα [84]) μανθάνομεν, ὡς οὔτε ἀνθρωπίνη προθυμία κατορθοῖ τί χωρὶς τῆς θείας ῥοπῆς, οὔτε θεία ῥοπὴ κέρδος φέρει χωρὶς ἀνθρωπίνης προθυμίας. καὶ ἀμφοτέρων παραδείγματα Πέτρος καὶ Ἰούδας. ὅθεν χρὴ μήτε τὸ πᾶν ἐπὶ τὸν θεὸν ῥίψαντας καθεύδειν, μήτε σπουδάζοντας, τὸ πᾶν ἑαυτοὺς οἴεσθαι κατορθοῦν. οὔτε γὰρ τὸ πᾶν ὁ θεὸς ἐργάζεται, ἵνα μὴ ἀργοὶ μένωμεν, οὔτε τὸ πᾶν ἡμῖν ἐφίησιν, ἵνα μὴ καυχώμεθα, ἀλλ᾽ ἑκατέρου τὸ βλαβερὸν ἀφελὼν, τὸ χρήσιμον ἡμῖν ἀπολέλοιπεν. ἀφῆκεν οὖν τὸν κορυφαῖον πεσεῖν, οὐ μόνον διὰ τὰς ῥηθείσας αἰτίας, ἀλλὰ καὶ ἵνα πλεῖον ἀγαπήσῃ. ᾧ γὰρ πλεῖον ἀφεθῇ, πλεῖον ἀγαπήσει. καὶ ἡμεῖς τὸ νῦν πειθώμεθα πανταχοῦ τῷ θεῷ, καὶ μὴ ἀντιλέγωμεν. καὶ εἰ τὸ παρ᾽ αὐτοῦ λεγόμενον ἐναντίον εἶναι δοκεῖ τοῖς ἡμετέροις λογισμοῖς καὶ ταῖς ὄψεσι, καὶ ἔσω καὶ λογισμῶν καὶ ὄψεων κυριώτερος ὁ λόγος αὐτοῦ. οὕτω καὶ ἐπὶ τῶν φρικτῶν μυστηρίων ποιῶμεν, μὴ τὰ προκείμενα μόνον βλέποντες, ἀλλὰ τοῖς λόγοις τοῦ δεσπότου πειθόμενοι. καὶ ἐπειδὴ φησὶ τοῦτό ἐστι τὸ σῶμά μου, καὶ τοῦτό ἐστι τὸ αἷμά μου, καὶ πειθώμεθα καὶ πιστεύωμεν. καὶ γὰρ καὶ ἐπὶ τοῦ βαπτίσματος αἰσθητὸν μὲν τὸ ὕδωρ, ἀλλὰ νοητὸν τὸ δῶρον, ἡ ἀναγέννησις. ἐπεὶ γὰρ σώματι συμπέπλεκται ἡμῶν ἡ ψυχὴ, ἐν αἰσθητοῖς τὰ νοητὰ παρέδωκεν ἡμῖν ὁ θεός.

v. 35. Ὁμοίως — — — — — — εἶπον.

* * *

Μιμησάμενοι καὶ αὐτοὶ τὸν Πέτρον.

v. 36. Τότε — — — — — — — ἐκεῖ.

* * *

Μόνος ἄπεισιν εἰς προσευχὴν, διδάσκων, ὅτι χρὴ τὸν θερμῶς προσεύχεσθαι μέλλοντα, μεμονωμένον προσεύχεσθαι.

[Ὡς

83) Ἀπαρνήσωμαι. Cod. A.
84) Μανθάνωμεν. Cod. A.

[῾Ως ἄνθρωπος προσηύξατο, διδάσκων τοὺς ἀνθρώπους ἐν πειρασμοῖς προσεύχεσθαι καὶ εἰς θεὸν ἀνατείνεσθαι καὶ ἐκτενέστερον ἐπικαλεῖσθαι τὴν ἐκείνου βοήθειαν. In marg. a manu prima B. Eadem haec leguntur quoque in Cod. A. in marg. ſed paullo inferius.]

v. 37. Καὶ παραλαβὼν — — — — ἀδημονεῖν.

* * *

[῎Εστι δειλία φυσικὴ, μὴ θελούσης τῆς ψυχῆς διαιρεθῆναι τοῦ σώματος, διὰ τὴν ἐξ ἀρχῆς ἐντεθεῖσαν αὐτῇ παρὰ τοῦ δημιουργοῦ φυσικὴν συμπάθειάν τε καὶ οἰκειότητα. καὶ ἔστι δειλία παρὰ φύσιν ἐκ προδοσίας λογισμῶν καὶ ἀπιστίας συνισταμένη, ὡς ὅταν τὶς ἐν νυκτὶ δειλιᾷ διὰ τὰ φάσματα καὶ τοὺς ψόφους. ταύτην δὲ τὴν δειλίαν, ὡς παρὰ φύσιν ὁ Χριστὸς οὐ προσήκατο. In marg. a prima manu B. et A.]

᾿Ουκ εἰς τὴν προσευχὴν παρέλαβεν αὐτοὺς, ἀλλὰ πρὸ τῆς προσευχῆς ἰδίᾳ τῶν ἄλλων μαθητῶν, ὥστε μόνον ἐνδείξασθαι αὐτοῖς τὰ τῆς λύπης. Μάρκος δέ φησιν, ὅτι ἤρξατο ἐκθαμβεῖσθαι, ἤγουν δειλιᾷν. ἔφηκε γὰρ τῇ φύσει πάσχειν τὸ ἴδιον. ἀδημονεῖν δὲ νῦν, τὸ βαρυθυμεῖν νοεῖται. τὴν μὲν οὖν λύπην καὶ βαρυθυμίαν ἐνδείκνυται, δεικνύων ὅτι ὥσπερ τὰ πάντα θεός ἐστιν, οὕτω καὶ τὰ πάντα ἄνθρωπος. ἴδιον δὲ ἀνθρωπίνης φύσεως, λυπεῖσθαι διὰ τὸν θάνατον, καὶ μάλιστα τὸν βίαιον, καὶ φοβεῖσθαι τοῦτον. μόνοις δὲ τούτοις ἐνδείκνυται, ὡς μόνοις θεωροῖς γεγονόσι καὶ τῆς ἐν τῇ μεταμορφώσει θείας δόξης αὐτοῦ. καὶ μᾶλλον τῶν ἄλλων δυναμένοις μὴ θορυβηθῆναι [85] καὶ καταπεσεῖν.

v. 38. Τότε — — — — — — μετ᾽ ἐμοῦ.

* * *

Φανερώτερον ἐξαγορεύει τὴν ἀσθένειαν τῆς φύσεως, ὡς ἄνθρωπος. τὸ δὲ ἕως θανάτου, ἀντὶ τοῦ, ὡς ἐν θανάτῳ. γρηγορεῖν δὲ μετ᾽ αὐτοῦ κελεύει, παραμυθίας ἕνεκεν, ὡς ἔθος τοῖς ἐν περιστάσεσιν. εἶτα καὶ τούτους ἀφίησιν ἐκεῖ, καὶ μόνος ἄπεισιν εἰς τὴν προσευχήν.

v. 39.

85) καὶ omittit Cod. A.

v. 39. Καὶ προελθὼν — — — — — αὐτοῦ.

* * *

Λουκᾶς δὲ καὶ τὸ μέτρον τοῦ διαστήματος εἶπεν, ὅτι ἀπεσπάσθη ἀπ' αὐτῶν, ὡσεὶ λίθου βολήν.

v. 39. Προσευχόμενος — — — — — ὡς σύ.

* * *

Ἐιπὼν μὲν, ὅτι εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, ἔδειξε τὴν ἀνθρωπίνην δειλίαν, ποτήριον λέγων, τὸ τοῦ θανάτου. εἰπὼν δὲ, ὅτι πλὴν οὐχ' ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σὺ, ἐδίδαξεν, ὅτι καὶ τῆς φύσεως ἀνθελκούσης, χρὴ ἕπεσθαι τῷ θελήματι τοῦ θεοῦ, καὶ προτιμᾶν αὐτὸ τοῦ ἰδίου θελήματος, ὡς λυσιτελέστερον. τὸ δὲ πλὴν οὐχ' ὡς ἐγὼ θέλω, σαφέστερον ὁ Λουκᾶς ἀπήγγειλεν εἰπὼν, πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν 86) γινέσθω. Μάρκος δέ φησιν, ὅτι προσηύχετο, 87) ἵνα εἰ δυνατόν ἐστι παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα, ἤγουν ἡ τοῦ θανάτου. καὶ 88) ὅτι ἔλεγεν, ἀββὰ ὁ πατὴρ, πάντα δυνατά σοι· παρένεγκε τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο, ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ. τὸ μὲν οὖν ἀββὰ, ἑβραϊκὴ λέξις ἐστὶ, σημαῖνον τὸ, ὁ πατήρ. διὸ καὶ ἡ ἑρμηνεία τούτου προσετέθη. τὸ δὲ, οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ, ἐλλιπῆ εἰσιν. ἐλλείπει γὰρ τὸ, γινέσθω. ἔστι γὰρ τὸ πλῆρες, ὅτι γινέσθω οὐχ' ὃ ἐγὼ θέλω, ἀλλ' ὃ σύ. παρὰ δὲ τῷ Λουκᾷ γέγραπται, πάτερ, εἰ βούλει παρενεγκεῖν τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. καὶ ἔστι καὶ τοῦτο ἐλλιπές. ἐλλείπει γὰρ τὸ, παρένεγκε. ὡς ἄνθρωπος δὲ εἶπεν εἰ δυνατόν ἐστιν, ἀντὶ τοῦ εἰ ἐνδεχόμενον. ἀνθρώπινον γὰρ τὸ ἐπιδοιάζειν. ὡς γὰρ θεὸς ἐγίνωσκεν, εἴτε δυνατὸν ἦν, εἴτε ἀδύνατον. εἰκὸς δὲ πάντα ῥηθῆναι ἀνὰ μέρος. εἰώθαμεν γὰρ ἐν ταῖς προσευχαῖς διαφόρως τὸ αὐτὸ λέγειν.

v. 40. Καὶ ἔρχεται — — — — — — οὕτως;

* * *

Τὸ οὕτως; κατ' ἐρώτησιν ἠθικὴν ἀναγνωστέον. ἐνέτρεψε γὰρ αὐτὸν, καίτοι καὶ τῶν ἄλλων καθευδόντων. ἀλλὰ τούτου

86) Γενέσθω. Cod. A.
87) Ἵνα omittit Cod. A.
88) Ὅτι omittit Cod. A.

του διαφερόντως καθήψατο, ὡς προπετεστέρου, λέγων, οὕτως ὑπέσχου;

v. 40. Ὀυκ — — — — — — — μετ᾽ ἐμοῦ.

* *
*

Σὺν ἐμοὶ ἀποθανεῖν ἐπηγγείλασθε, καὶ οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ᾽ ἐμοῦ; Μάρκος δέ φησιν, ὅτι λέγει τῷ Πέτρῳ, Σίμων καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι; προηγουμένως μὲν γὰρ πρὸς ἐκεῖνον ἀπετείνατο, εἶτα καὶ πρὸς τοὺς ἄλλους.

v. 41. Γρηγορεῖτε — — — — — πειρασμόν.

* *
*

Μὴ θαῤῥεῖτε ἑαυτοῖς, μηδὲ ἐπαγγέλλεσθε μεγάλα, ἀλλὰ προσέχετε καὶ προσεύχεσθε, μὴ εἰσελθεῖν εἰς πειρασμόν. τινὲς δὲ πειρασμὸν ἐνταῦθα, τὸν τῆς ἀρνήσεως ἑρμηνεύουσι.

v. 41. Τὸ μὲν — — — — — — ἀσθενής.

* *
*

Ἡ μὲν ψυχὴ προθυμεῖται καὶ κατατολμᾷ τοῦ κινδύνου· ἡ δὲ σὰρξ ἀσθενὴς οὖσα, ὑποστέλλεται καὶ οὐκ εὐτονεῖ. διὸ προσήκει μὴ πρὸς τὴν τῆς ψυχῆς προθυμίαν βλέποντας, θρασύνεσθαι, ἀλλὰ πρὸς τὴν τῆς σαρκὸς ἀσθένειαν ὁρῶντας μετριοφρονεῖν.

v. 42. Πάλιν — — — — — — θέλημά σου.

* *
*

Ὁ δὲ Μάρκος ἔγραψεν, ὅτι τὸν αὐτὸν λόγον εἶπεν, ὃν καὶ πρότερον. εἰκὸς δὲ, καὶ ἐκεῖνον καὶ τοῦτον εἰπεῖν.

v. 43. Καὶ ἐλθὼν — — — — — βεβαρημένοι.

* *
*

Βεβάρηντο οὐ τῷ ὕπνῳ μόνον, ἀλλὰ καὶ τῇ λύπῃ, καθὼς εἶπε Λουκᾶς· ἤδη γὰρ ἐπληροφορήθησαν περὶ τοῦ θανάτου αὐτοῦ. ὁ δὲ Μάρκος εἶπεν, ὅτι καὶ οὐκ ᾔδεισαν τί αὐτῷ ἀποκριθῶσιν.

v. 44.

v. 44. Καὶ ἀφεὶς — — — — — — εἰπών.

* * *

Ἐκ δευτέρου μὲν καὶ ἐκ τρίτου προσηύξατο, διδάσκων, ὅτι χρὴ πολλάκις προσεύχεσθαι, καὶ μὴ ἀποκάμνειν. ἦλθε δὲ τὸ δεύτερον πρὸς τοὺς μαθητὰς ἐλέγχων τὴν ἀσθένειαν αὐτῶν, ὡς μηδὲ μετὰ τὴν ἐπιτίμησιν βελτιωθέντων, ἀλλὰ καὶ τοσοῦτον βεβαπτισμένων τῷ ὕπνῳ, ὅσον μηδὲ δύνασθαι ἀποκριθῆναι αὐτῷ. διὸ οὐδὲ καθήψατο αὐτῶν τηνικαῦτα. Λουκᾶς δὲ πλατύτερον εἶπε, καὶ ὅτι ὤφθη αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτὸν, ἤγουν ἰσχύειν καὶ κραταιοῦσθαι ἐπιφθεγγόμενος, ὡς ἀνθρώπῳ, καὶ ὅτι καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο, παιδεύων ἡμᾶς ἐν ἀνάγκαις ἐκτενέστερον προσεύχεσθαι, καὶ ὅτι ἐγένετο ὁ ἱδρὼς αὐτοῦ, ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν. θρόμβοι [89]) δὲ αἵματος οἱ παχύτατοι σταλαγμοὶ τοῦ αἵματος. τοῦτο δὲ εἶπε, δηλῶν οὐχ' ὅτι αἷμα ἵδρωσεν, ἀλλ' ὅτι παχεῖς κατῆγεν ἱδρῶτας ὑπὸ τῆς ἀγωνίας. ἵνα γὰρ μὴ δόξῃ ὑπόκρισις τὸ γινόμενον, οὐκ ἐπὶ τοῦ προσώπου μόνον ἐνδείκνυται τὴν λύπην, ἀλλὰ καὶ φανερώτερον ἐξαγορεύει ταύτην, καὶ προσεύχεται πυκνότερον. καὶ ἄγγελος αὐτῷ φαίνεται πρὸς [90]) ἀνδρείαν ἐπαλείφων. καὶ ἔτι ἀγωνιᾷ καὶ ἐκτενέστερον προσεύχεται, καὶ ἱδρῶτες ἀδροὶ καταῤῥέουσι, καὶ πάντα ταῦτα καὶ ποιεῖ καὶ πάσχει, βεβαιῶν, ὅτι οὐ κατὰ φαντασίαν ἐνηνθρώπησεν, ἀλλὰ κατ' ἀλήθειαν. εἰ γὰρ καὶ τούτων ἀνθρωποπρεπῶς οὕτω γενομένων, καὶ τῆς μαρτυρικῆς καταδεέστερον γενναιότητος, ὅμως εἰσί τινες ἀπιστοῦντες τῇ ἐνανθρωπήσει αὐτοῦ, πολλῷ μᾶλλον ἠπίστουν ἄν, εἰ μὴ ταῦτα γέγονεν. ἄξιον δὲ ζητῆσαι, πόθεν οἱ εὐαγγελισταὶ μαθόντες συνεγράψαντο, τί τε προσευχόμενος εἶπε τηνικαῦτα, καὶ ποσάκις προσηύξατο, καὶ ἁπλῶς τὰ περὶ τοῦ ἀγγέλου καὶ τὰ ἑξῆς. οἱ μαθηταὶ γὰρ πάντες τότε μὲν ἐκάθευδον, ὕστερον δὲ ἀφέντες αὐτὸν ἔφυγον. δοκεῖ γάρ μοι, μετὰ τὴν ἀνάστασιν αὐτὸς ὁ διδάσκαλος εἰπεῖν καὶ ταῦτα τοῖς μαθηταῖς, ὅτε δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος ἦν αὐτοῖς, ὡς ἡ βίβλος φησὶ τῶν πράξεων.

89) Lexicon Inedit. Θρόμβος· πεπηγὸς αἷμα. Plura de h. l. aliquando monebo ad iftum locum Lucae.
90) Ἀνδρίαν. Cod. A.

v. 45. Τότε — — — — — — ἀναπαύεσθε.

* *
*

Ἐντρέπων αὐτοὺς τοῦτο λέγει καὶ καθαπτόμενος, οἷα κοιμωμένων ἐν καιρῷ κινδύνου, καὶ τῶν πολλῶν αὐτοῦ περὶ τοῦ γρηγορεῖν καὶ προσεύχεσθαι παραγγελιῶν ἐπιλαθομένων, ὡσανεὶ λέγων, ἐπεὶ μέχρι τοῦ νῦν οὐκ ἐγρηγορήσατε, τὸ λοιπὸν καθεύδετε καὶ ἀναπαύεσθε, εἰ δύνασθε.

v. 45. Ἰδοὺ ἤγγικεν ἡ ὥρα.

* *
*

Ἡ τῆς προδοσίας. Μάρκος δέ φησιν, εἰπεῖν αὐτὸν, πρὸ τοῦ λόγου τούτου, ὅτι ἀπέχει, τουτέστιν, ἔλαβε τὴν κατ᾽ ἐμοῦ ἐξουσίαν ὁ διάβολος, ἢ ἀπέχει τὰ κατ᾽ ἐμὲ, ἤγουν πέρας ἔχει. καὶ γὰρ καὶ παρὰ τῷ Λουκᾷ εἴρηκεν, ὅτι τὰ περὶ ἐμοῦ τέλος ἔχει.

v. 45. Καὶ ὁ — — — — — — ἁμαρτωλῶν.

* *
*

Τοῦτο σαφές.

v. 46. Ἐγείρεσθε — — — — παραδιδούς με.

* *
*

Κἀντεῦθεν ἔδειξεν, ὅτι ἑκὼν ἀποθανεῖται. προειδὼς γὰρ ἐρχομένους τοὺς περὶ τὸν προδότην, οὐ μόνον οὐκ ἔφυγεν, ἀλλὰ καὶ εἰς ἀπάντησιν αὐτῶν ἐξιέναι παρασκευάζεται, λέγων, ἄγωμεν πρὸς αὐτούς. Λουκᾶς δέ φησιν εἰπεῖν αὐτὸν τοῖς μαθηταῖς, τί καθεύδετε, ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. εἰκὸς δὲ, τοῦτο πρῶτον εἰπεῖν, εἶτα ἐπειπεῖν τὸ, ἐγείρεσθε ἄγωμεν.

v. 47. Καὶ ἔτι — — — — — — τοῦ λαοῦ.

* *
*

Εἷς τῶν δώδεκα [91]) πρόσκειται γνώρισμα, δηλοῦν, ὅτι ἐκ τοῦ πρώτου χοροῦ τῶν μαθητῶν ἦν. καὶ ἔστι μὲν τοῦτο, κατηγορία τοῦ Ἰούδα. καθάπτεται δὲ καὶ τῶν ἄλλων μαθητῶν, ἀλλ᾽ οὐκ ἐπαισχύνονται τοῦτο γράφοντες οἱ εὐαγγελισταί. πανταχοῦ γὰρ τῆς ἀληθείας φροντίζουσιν. ὁ δ᾽ Ἰωάννης

91) πρόκειται. Cod. A.

Ἰωάννης περὶ τοῦ Ἰούδα Φησιν, ὅτι λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ Φανῶν καὶ λαμπάδων καὶ ὅπλων. ἡ σπεῖρα [92]) μὲν οὖν ἦν, τάγμα στρατιωτικὸν, χρήμασιν ἀναπεισθεῖσα. Φανοὶ δὲ τὰ λεγόμενα Φανάρια.

v. 48. Ὁ δὲ — — — — — — — αὐτόν.

* * *

[Προδότης [93]) μὲν κατὰ τὸν Ἰούδαν ὁ [94]) προδιδοὺς τὸν λόγον τοῖς πάθεσι καὶ τὴν εὐνομίαν τῆς ψυχῆς τῇ παρανομίᾳ τῶν πράξεων. ἀρνεῖται δὲ αὐτὸν κατὰ τὸν Πέτρον, ὁ διὰ φόβον τὸ καλὸν παραιτούμενος.] μετὰ τοσοῦτον [95]) δὲ ἔλεγχον, λαθεῖν ἐσπούδαζεν, ὅτι αὐτὸς αὐτὸν προδίδωσι, διὸ καὶ ἐκ τοῦ Φανεροῦ μὲν οὐ προδίδωσιν, σχηματίζεται δὲ τὸ Φίλημα θαῤῥήσας τῇ ἡμερότητι τοῦ σωτῆρος, ὅτι οὐκ ἀπώσεται αὐτὸν, ὃ καὶ μᾶλλον ἱκανὸν ἦν ἐντρέψαι τοῦτον καὶ πάσης ἀποστερῆσαι συγγνώμης, ὅτι τὸν ὅτω πρᾳότατον προεδίδου. Φοβηθεὶς δὲ, μήποτε διαφύγῃ τοὺς ἐπιβουλεύοντας, ὃ πολλάκις ἐποίησε, παρήγγειλεν, ὅτι κρατήσατε αὐτὸν καὶ ἀπαγάγετε ἀσφαλῶς. τοῦτο γὰρ ὁ Μάρκος προστέθηκεν. ἀλλ' ὁ Χριστὸς ἐλέγχων αὐτὸν μάτην ἐξασφαλιζόμενον, καὶ δεικνύων, ὅτι οὐκ ἂν τοῦτον ἄκοντα καθέξοιεν, ἐξελθὼν εἶπεν αὐτοῖς, ὡς ὁ Ἰωάννης ἱστόρησε, τίνα ζητεῖτε. ἀπεκρίθησαν αὐτῷ, Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς ὁ Ἰησοῦς, ἐγώ εἰμι. εἱστήκει δὲ καὶ [96]) Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. ὡς [97]) οὖν εἶπεν αὐτοῖς, ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί· ὢ λόγου δυνάμεως, οὐκ ἴσχυσαν ὑπενεγκεῖν τὸ ἐγώ εἰμι [98]) μόνον. διὸ καὶ Φανοὺς μὲν καὶ λαμπάδας ἔχοντες, [99]) ἐτυφλοῦντο μετὰ τοῦ προδότου. μαχαίραις δὲ καὶ ξύλοις ὡπλισμένοι τυγχάνοντες παρελύοντο καὶ κατέπιπτον. ἐπεὶ δὲ ἔδειξε τὴν ἰσχὺν αὐτοῦ, τότε λοιπὸν συνεχώρησε. καὶ πάλιν αὐτοὺς ἐπηρώτησε, τίνα ζητεῖτε. οἱ δὲ εἶπον, Ἰησοῦν τὸν Ναζωραῖον. ἀπεκρίθη Ἰησοῦς, εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. ὁ δὲ Ἰούδας καὶ τούτων

92) Lexicon Inedit. σπεῖρα· σύναξις, πλῆθος στρατευμάτων.
93) Inclusa Codex A. habet in margine, sed a prima manu.
94) Παραδοὺς Cod. A.
95) Δὲ omittit Cod. A.
96) Καὶ omittit Cod. A.
97) Οὖν omittit Cod. A.
98) Μόνον habet Cod. A. paullo ante post ὑπενεγκεῖν.
99) Post ἔχοντες addit Cod. A. καί.

τούτων ἔτω γινομένων ἐ μετεβλήθη κἂν γοῦν μικρὸν, ἐδὲ τῶν δεδογμένων ἀπέσχετο.

v. 49. Καὶ εὐθέως — — — — — — αὐτόν.

* * *

Φησὶ δὲ [100]) καὶ Λουκᾶς εἰπεῖν τὸν Χριςὸν πρὸς Ἰούδαν, ἐγγίσαντα φιλῆσαι αὐτόν· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; μακροθύμως γὰρ ἐξεῖπεν αὐτῷ καὶ τὸν σκοπὸν τοῦ φιλήματος καὶ προσωνείδισε ποιήσαντι τὸ σύμβολον τῆς ἀγάπης, σύμβολον προδοσίας. καὶ ὅμως οὐκ ἀπώσατο, ἀλλὰ καὶ τὸ φίλημα ἐδέξατο, καὶ παρέσχεν ἑαυτὸν εἰς [1]) ἀπαγωγήν. ὁ δὲ καὶ τῆς δυνάμεως αὐτοῦ τοσαύτην λαβὼν ἀπόδειξιν, καὶ τῆς ἐπιεικείας καὶ ἡμερότητος, θηρίου παντὸς χαλεπώτερος ἔμενεν.

v. 50. Ὁ δὲ — — — — — — — πάρει.

* * *

Ὅρα εὐσπλαγχνίαν ἀνεκδιήγητον. ἄχρι γὰρ καὶ παρεδόθη, ἐκήδετο τοῦ προδότου. διὸ καὶ νῦν ἑταῖρον ὠνόμασε τὸν ἔχθιςον. τὸ δὲ ἐφ' ᾧ πάρει, οὐκ ἐρωτηματικῶς ἀναγνωςέον. ἐγίνωσκε γὰρ, ἐφ' ᾧ παρεγένετο, ἀλλ' ἀποφαντικῶς. δηλοῖ δὲ, ὅτι διὸ παραγέγονας, ἤγουν τὸ κατὰ σκοπὸν, πρᾶττε, τοῦ προσχήματος ἀφέμενος. σκοπὸς μὲν γὰρ ἦν ἡ προδοσία· πρόσχημα δὲ, τὸ φίλημα καὶ ὁ λόγος.

v. 50. Τότε — — — — — — — αὐτόν.

* * *

Κατὰ τὸ σύνθημα.

v. 51. Καὶ ἰδοὺ — — — — — — ὠτίον.

* * *

Ὁ δὲ Λουκᾶς ἔγραψεν, ὅτι ἰδόντες οἱ περὶ αὐτὸν τὸ ἐσόμενον, εἶπον [2]) αὐτῷ, κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ. καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν. ὁ δ' Ἰωάννης ἐδήλωσε καὶ τὸν

100) καὶ omittit Cod. A.
1) ὑπαγωγήν. Cod. A.
2) Αὐτῷ omittit Cod. A.

τὸν πατάξαντα. 3) Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ 4) ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν. ἦν δὲ 5) ὄνομα τῷ δούλῳ Μάλχος. ἔτι γὰρ τῶν ἄλλων ἐρωτώντων, αὐτὸς οὐκ ἀναμείνας τὴν ἀπόκρισιν, οἷα θερμότατος, ἐπάταξεν μὲν κατὰ τῆς κεφαλῆς, ἀπέκοψε δὲ τὸ ὠτίον. εἶχον γὰρ δύο μαχαίρας, ὡς ἔφη Λουκᾶς, ἀπὸ τοῦ δείπνου ταύτας, ὡς ἔοικε, λαβόντες, μεγάλας οὔσας, ὥςε χρῆσθαι πρὸς ἄμυναν τῶν ἐπιέναι μελλόντων· ἰδὼν δὲ τὸ γεγονὸς ὁ Χριςὸς, εἶπεν· ἐᾶτε ἕως τούτου. καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ ἰάσατο αὐτόν. ὁ αὐτὸς δὲ καὶ τοῦτο φησὶ Λουκᾶς. εἰπὼν μὲν οὖν ὁ Χριςὸς, ὅτι ἕως τούτου, ἐνέφηνεν, ὅτι κατ' οἰκονομίαν ἀφῃρέθη τὸ οὖς ὁ δοῦλος τοῦ ἀρχιερέως, εἰς σημεῖον τοῦ ἀφαιρεθῆναι τοὺς ἀρχιερεῖς ὑπὸ φθόνου τὸ ἀκούειν τῶν περὶ αὐτοῦ προφητειῶν, ἤγουν τὸ συνιέναι ταύτας. ἰασάμενος δὲ αὐτὸν ἔδειξε μὲν καὶ τὸν εἰς αὐτοὺς ἔλεον, καὶ ὅτι ἠμύνατο ἂν αὐτοὺς εἴπερ ἤθελεν. ἐδίδαξε δὲ καὶ, ὅτι χρὴ μᾶλλον εὐεργετεῖν τοὺς κακῶς ποιοῦντας. ἀλλὰ πῶς ὁ μὴ ἀμύνεσθαι προςαχθεὶς πατάσσει ἐν μαχαίρᾳ; πρῶτον μὲν οὐχ' ὑπὲρ ἑαυτοῦ τοῦτο πεποίηκεν, ἀλλ' ὑπὲρ τοῦ διδασκάλου. ἔπειτα καὶ οὔπω τέλειος ἦν· ὕςερον δὲ βλέπε τοῦτον μυρία πάσχοντα καὶ πρᾴως ἅπαντα ὑπομένοντα. θαυμάσειε δ' ἄν τις, πῶς οὐ συνέλαβον καὶ τοὺς μαθητὰς καὶ κατέκοψαν, διὰ τὸ γεγενημένον εἰς τὸν δοῦλον τοῦ ἀρχιερέως. ἀλλ' ὄντως ἡ πηρώσασα καὶ ῥίψασα τούτους δύναμις, ἐκείνη καὶ τότε διεσκέδασε τὸν ἐπὶ τῇ ἀποκοπῇ τοῦ ὠτίου θυμὸν αὐτῶν.

v. 52. Τότε λέγει — — — — — ἀποθανοῦνται.

* * *

Ἐπιτιμήσας αὐτῷ, ἐδίδαξε μηδ' ὑπὲρ τοῦ θεοῦ χρῆσθαι μαχαίρᾳ, διὰ δὲ τῆς μαχαίρας καὶ πᾶν ὅπλον ἐκώλυσε. τὸ δὲ πάντες οἱ λαβόντες μάχαιραν, προφητεία ἐςὶ τῆς διαφθορᾶς τῶν ἐπελθόντων αὐτῷ Ἰουδαίων. ὁ δ' Ἰωάννης εἰπεῖν αὐτὸν λέγει καὶ ὅτι τὸ ποτήριον, ὃ 6) δέδωκέ μοι ὁ πατὴρ, οὐ μὴ πίω αὐτό; δεικνύοντα, ὅτι οὐ τῆς ἐκείνων δυνάμεως ἐςὶ τὸ γινόμενον, ἀλλὰ τῆς τοῦ πατρὸς παραχωρήσεως, καὶ ὅτι ὑπήκοος ἐςὶ τῷ πατρὶ μέχρι θανάτου.

3) Post πατάξαντα Cod. A. addit εἰπών.
4) Ἀπέκοψον. vitiose Cod. A.
5) Τὄνομα, sic pro τοὔνομα Cod. A.
6) Ὃ ἔδωκε. Cod. A.

v. 53. Ἢ δοκεῖς — — — — — — ἀγγέλων.

* * *

Λεγεὼν ἐςὶ, τάγμα ςρατιωτικὸν πολυάριθμον. οὐκ εἶπε δὲ, ὅτι, δύναμαι αὐτοὺς ἀπολέσαι, ἵνα μὴ δόξῃ λέγειν ἀπίθανα, διὰ τὰ προλαβόντα πάθη, τὴν λύπην, τὴν δειλίαν, τὴν ἀγωνίαν, τοὺς ἱδρῶτας, καὶ ὅσα πρὸ μικροῦ πέπονθεν, ὡς ἄνθρωπος. ἔπω γὰρ τὴν προσήκουσαν περὶ αὐτοῦ ὑπόληψιν εἶχον. διὰ τοῦτο οὖν ταπεινὰ φθέγγεται. τοσαύτας δὲ λεγεῶνας εἶπεν ἀγγέλων, ἵνα ἐκ περιουσίας παραθαῤῥύνῃ τούτους, ἀποτεθνηκότας τῷ δέει. καὶ γὰρ εἷς ἄγγελος, ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας ἀνεῖλεν ἐν βραχεῖ πάλαι.

v. 54. Πῶς — — — — — — γενέσθαι.

* * *

Εἰ μὴ ἔτως ἀναιρεθῶ, φησι, πῶς πληρωθῶσιν αἱ γραφαὶ αἱ προφητικαὶ, ὅσαι περὶ τοῦ θανάτου μου διεξίασιν, αἱ γράφεσαι, ὅτι ἔτως δεῖ γενέσθαι, ὅτι ἔτως χρὴ ἀποθανεῖν με.

v. 55. Ἐν ἐκείνῃ — — — — — ἐκρατήσατέ με.

* * *

Δείκνυσι καὶ τούτοις, ὅτι οὐχ' ὑπὸ τῆς αὐτῶν κατεσχέθη δυνάμεως. ὥσπερ γὰρ τότε κατασχεῖν αὐτὸν οὐκ ἠδυνήθησαν, ἔτως ἐδὲ νῦν, εἰ μὴ πάντως ἠθέλησεν. Λουκᾶς δέ φησιν εἰπεῖν ταῦτα πρὸς τοὺς [7]) γενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ ςρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους. εἰκὸς δὲ καὶ πρὸς τούτους κἀκείνους. Φαίνεται δὲ, ὅτι ὁ μὲν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας προῆγεν. εἵποντο δὲ καί τινες τῶν ἀρχιερέων καὶ ςρατηγῶν τοῦ ἱεροῦ καὶ πρεσβυτέρων, οὓς νῦν ὁ [8]) Λουκᾶς ἐδήλωσεν. ἅμα μὲν παραθήγοντες τοὺς ἀπεςαλμένους, ἅμα δὲ καὶ θεωρἕντες, ἵνα μὴ δωροδοκηθῶσι. ςρατηγοὺς δὲ τοῦ ἱεροῦ λέγει, τοὺς φυλάσσοντας αὐτὸ [9]) μετὰ τῶν ςρατιωτῶν, οἷς καὶ ἀνωτέρω συνελάλησεν ὁ Ἰούδας.

v. 56.

7) Παραγενομένους. Cod. A. Mox idem πρὸς αὐτόν.
8) Cod. A. omittit ὁ.
9) Post μετὰ omittit τῶν Cod. A.

v. 56. Τοῦτο δὲ — — — — — — προφητῶν.

* * *

Τοῦτο δὲ ὅλον, δηλαδὴ τὸ θελῆσαι κατασχεθῆναί με, γέγονεν, ἵνα τέλος λάβωσιν αἱ γραφαὶ τῶν προφητῶν, ὅσαι περὶ τοῦ θανάτου μου διαλαμβάνουσι.

v. 56. Τότε — — — — — — — ἔφυγον.

* * *

Ἀκούσαντες, ὅτι ἑκὼν ἑαυτὸν παρέδωκε κατὰ τὰς γραφὰς, καὶ ἰδόντες, ὅτι οὐκ ἔτι διαφεύξεται, λοιπὸν ἔφυγον, κατὰ τὴν ἀψευδῆ πρόῤῥησιν αὐτοῦ. Μάρκος δὲ προσέθηκεν, ὅτι καὶ εἷς τὶς νεανίσκος ἠκολούθησεν αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ. καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι. ὁ δὲ καταλιπὼν τὴν σινδόνα, γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν. τινὲς μὲν οὖν φασὶν ἀπὸ τῆς οἰκίας ἐκείνης εἶναι τὸν νεανίσκον, ἐν ᾗ τὸ πάσχα ἔφαγεν ὁ Χριστὸς, ἕτεροι δὲ λέγουσιν, εἶναι τοῦτον Ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου, ὃς καὶ παρ' ὅλην τὴν ἑαυτοῦ ζωὴν, ἑνὶ περιβολαίῳ ἐκέχρητο. περιεβέβλητο δὲ τὴν σινδόνα ἐπὶ γυμνοῦ, τοῦ σώματος δηλονότι.

v. 57. Οἱ δὲ — — — — — — συνήχθησαν.

* * *

Τὰ ὅμοια καὶ Μάρκος ἔγραψε καὶ Λουκᾶς. ὁ δ' Ἰωάννης πλατύτερον καὶ ἀκριβέστερον τὰ ἐντεῦθεν γράφων, οἷα παρὼν αὐτοῖς, οὕτω φησίν· ἡ [10]) οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτὸν καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον. ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. εἶτα κατὰ μέρος ἀπαγγείλας τὰ ἐν τῷ οἴκῳ τοῦ Ἄννα γενόμενα, ἅπερ [11]) ἄλλοι παρέδραμον εὐαγγελισαὶ, τέλος λέγει, ἀπέστειλεν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα.

v. 58. Ὁ δὲ — — — — — — ἀρχιερέως.

* * *

Ὑποστρέψαντες [12]) εὐθὺς αὐτὸς καὶ ὁ Ἰωάννης παρηκολούθουν.

C 5

10) Εἰ οὖν Cod. A.
11) Ἅπερ οἱ ἄλλοι. Cod. A.
12) Hoc refertur ad superius ἀφέντες αὐτὸν ἔφυγον, i. e. e fuga reuersi. Αὐτὸς autem refertur ad Petrum.

θουν. ὁ δ' Ἰωάννης συνεχωρεῖτο καὶ πλησιάζειν, οἷα γνωςὸς τῷ ἀρχιερεῖ, καθὼς αὐτὸς ἱςορεῖ. ἀλλ' οἱ μὲν τρεῖς εὐαγγελιςαὶ, τοῦ Πέτρου μόνου μνημονεύουσι συμφώνως, διὰ τὸ ἀναγκαῖον, ἵνα τε δείξωσι τὴν περὶ τῆς ἀρνήσεως αὐτοῦ πρόῤῥησιν τοῦ σωτῆρος, εἰς τέλος ἐκβεβηκυῖαν, καὶ ἵνα διδάξωσιν, ὁποῖον ἐςι κακὸν τὸ θαῤῥεῖν ἐφ' ἑαυτῷ τινὰ, καὶ μὴ ἐπὶ τῷ θεῷ. ὁ δ' Ἰωάννης καὶ ἑαυτοῦ ἐμνημόνευσεν ἀκριβολογίας ἕνεκα. πλὴν ἵνα μὴ δόξῃ ἐπαινεῖν ἑαυτὸν, ὡς ἐν τοιέτοις δεινοῖς ἀκολουθοῦντα τῷ διδασκάλῳ, παρεσιώπησε τὸ ἴδιον ὄνομα καὶ εἶπεν. ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ὁ ἄλλος μαθητής.

v. 58. Καὶ εἰσελθὼν — — — — — τέλος.

* * *

Οἱ μὲν τρεῖς εὐαγγελιςαὶ τὰς τρεῖς ἀρνήσεις τοῦ Πέτρου ἐν τῇ τοῦ Καϊάφα αὐλῇ γενέσθαι λέγουσιν, ὁ δ' Ἰωάννης ἐν τῇ τοῦ Ἄννα τοῦ πενθεροῦ αὐτοῦ. καὶ οὐκ ἔςι τοῦτο διαφωνία. καὶ γὰρ [13]) ἀμφότερον, εἷς οἶκος καὶ μία αὐλὴ, ἔχουσα ἐν ἑαυτῇ δύο διαίτας [14]) ἰδιαιτάτας. χρὴ δὲ γινώσκειν, ὅτι [15]) Ματθαῖος μὲν πρῶτον παιδίσκην λέγει πτοῆσαι τὸν Πέτρον, εἶτα ἄλλον, ἔπειτα τοὺς ἑςῶτας· (Μάρκος [16]) δὲ πρῶτον παιδίσκην, εἶτα τὴν αὐτὴν πάλιν, ἔπειτα τοὺς παρεςῶτας·) Λουκᾶς δὲ, πρῶτον παιδίσκην, εἶτα ἕτερον, ἔπειτα ἄλλον τινα· Ἰωάννης δὲ, πρῶτον παιδίσκην, τὴν θυρωρὸν, εἶτα τινὰς, ἔπειτα ἕνα τῶν δούλων τοῦ ἀρχιερέως, συγγενῆ, ὃ ἀπέκοψε Πέτρος τὸ ὠτίον. πλὴν ἐὰν προσέχωμεν, ὐδ' ὕτω διαφωνία τίς εὑρεθήσεται. ἐπὶ μὲν γὰρ τῆς πρώτης ἀρνήσεως, ἡ αὐτὴ παιδίσκη ἐςὶν, ἡ παρὰ τοῖς τέσσαρσιν εὐαγγελιςαῖς μνημονευομένη· ἐπὶ δὲ τῆς δευτέρας, τινὰς ὁ Ἰωάννης ἐνέφηνεν ἐρωτῆσαι τὸν Πέτρον, οἵτινες ἦσαν ἡ παιδίσκη τε, περὶ ἧς εἶπε Ματθαῖος, καὶ ἡ πρώτη [17]) παιδίσκη, περὶ ἧς ἔφη Μάρκος, καὶ ὁ ἕτερος, περὶ οὗ ἱςόρησε Λουκᾶς. ἐπὶ δὲ τῆς τρίτης ἀρνήσεως, ὁμοίως Μάρκος καὶ Λουκᾶς τοὺς παρεςῶτας εἶπον ἐρωτῆσαι αὐτὸν, ἐν οἷς ἔμελλεν εἶναι, καὶ ὁ ἄλλος, ὁ παρὰ τῷ Λουκᾷ. ὗτος δέ ἐςιν, ὁ παρὰ τῷ Ἰωάννῃ δοῦλος τοῦ ἀρχιερέως. ἐπεὶ οὖν ἅπερ ἔδει σημειώσασθαι

13) Ἀμφοτέρων εἰς οἶκος. Cod. A.
14) Ἰδιαζούσας, pro ἰδιαιτάτας. Cod. A.
15) Ὅτι ὁ Ματθαῖος. Cod. A.
16) Inclusa omittit Cod. A. Error ortus est ex ἑςῶτας et παρεςῶτας.
17) Πρώτην dixit, quia eadem est et secunda. Paullo enim ante de secunda dixit, εἶτα τὴν αὐτὴν πάλιν.

σασθαι παρετηρήσαμεν, λοιπὸν ἑρμηνευτέον τὰ ἑξῆς, ἅπερ ἐν τῷ οἴκῳ μὲν τοῦ Καϊάφα γεγόνασιν, οὐκ ἐμνημονεύθησαν δὲ παρὰ τοῦ Ἰωάννου, διὰ τὸ ῥηθῆναι παρὰ τῶν ἄλλων.

v. 59. Οἱ δὲ — — — — — v. 60. εὗρον.

* * *

Ὡς μὲν ἐκείνοις ἐδόκει μαρτυρίαν, ὡς δὲ τῇ ἀληθείᾳ, ψευδομαρτυρίαν. ἢ καὶ γινώσκοντες, ὅτι μαρτυρίαν οὐχ εὑρήσουσι κατὰ τοῦ ἀνεπιλήπτου, λοιπὸν ἐζήτουν ψευδομαρτυρίαν. (ἐβούλοντο [18]) γὰρ ὡς ὑπεύθυνον καταδικάσαι αὐτὸν, διὸ καὶ σχηματίζουσι δικαστήριον καὶ ζητοῦσι ψευδομαρτυρίαν.) αὐτοὶ καὶ δικασταὶ καὶ κατήγοροι γινόμενοι, καὶ σπουδάζοντες παρ' ἑαυτοῖς τοῦτον καταδικάσαι. ἠπίσταντο γὰρ, ὅτι παρ' ἑτέροις δικασταῖς οὐκ ἄν ποτε [19]) τούτου περιγένοιντο.

v. 60. Καὶ πολλῶν — — — — — — εὗρον.

* * *

Ἐναντία γὰρ ἀλλήλοις ἐμαρτύρουν. Φησὶ γὰρ ὁ Μάρκος, ὅτι [20]) καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. ἐπληροῦτο δὲ καὶ ἡ Δαυϊτικὴ προφητεία ἡ λέγουσα, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ εὑρέθη.

v. 60. Ὕστερον — — — — — — — αὐτόν.

* * *

Εἶπεν, ἀλλ' οὐκ εἶπε, λύω, ἀλλὰ λύσατε, οὐδὲ περὶ τοῦ ναοῦ τοῦ χειροποιήτου, ἀλλὰ περὶ τοῦ ἰδίου σώματος. διὰ τοῦτο οὖν καὶ τούτους ψευδομάρτυρας ὁ εὐαγγελιστὴς ὠνόμασε. Μάρκος δέ φησι· καί τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ' αὐτοῦ λέγοντες, ὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος, ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον, καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν. πολλοὶ μὲν γὰρ περὶ τῆς τοιαύτης ὑποθέσεως ἐμαρτύρουν. δύο δὲ ὡμοφώνησαν, οὓς εἶπε Ματθαῖος. οἱ δ' ἄλλοι διεφώνουν, δι' οὓς εἴρηκεν ὁ Μάρκος, ὅτι οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν.

v. 62.

18) Inclufa omittit Cod. A. Error fcribae rurfus ortus ex duplici ψευδομαρτυρίαν.
19) Ante τούτου Cod. A. addit περί.
20) Ὅτι omittit Cod. A.

v. 62. Καὶ ἀναςὰς — — — — v. 63. ἐσιώπα.

* * *

Βλέπων μὲν καὶ τὸ δικαςήριον παράνομον. ἐῴκει γὰρ λῃςῶν κριτηρίῳ καὶ τυραννικῷ βήματι. εἰδὼς δὲ καὶ ὅτι μάτην ἀποκρίνεῖται παρὰ τοιέτοις, ἐσιώπα.

v. 63. Καὶ ἀποκριθεὶς — — — — τοῦ θεȣ̃.

* * *

Ἐξορκίζει, βȣλόμενος αὐτὸν εἰς ἀπολογίαν καταςῆσαι, ἵνα ταύτης δραξάμενος, ἐκ ταύτης τοῦτον καταδικάσῃ. προστίθησι δὲ τὸ, ὁ υἱὸς τοῦ θεοῦ, διότι καὶ οἱ βασιλεῖς καὶ οἱ προφῆται Χριςοὶ ἀπὸ τοῦ χρίεσθαι ὠνομάζοντο. Μάρκος δέ φησιν, ὅτι ὁ υἱὸς τοῦ εὐλογητοῦ, ἤτοι τοῦ θεοῦ τοῦ εὐλογητοῦ, τοῦ ὑμνητοῦ.

v. 64. Λέγει — — — — — — — εἶπας.

* * *

Κἀνταῦθα περιαιρουμένου τοῦ [21]) εἰ, ὑπολιμπάνεται, σὺ εἶ ὁ Χριςὸς ὁ υἱὸς τοῦ θεοῦ. λέγει δὲ Μάρκος, εἰπεῖν αὐτὸν, ὅτι ἐγώ εἰμι. καὶ ἄμφω γὰρ εἶπε, σὺ εἶπας, ὅτι ἐγώ εἰμι. γινώσκων οὖν, ὅτι οὐ πιςευθήσεται, ὅμως κατατίθεται, ἵνα μὴ δύνωνται λέγειν ὕςερον, ὅτι εἰ μετὰ τὸ ἐξορκισθῆναι ὡμολόγησεν, ἐπιςεύσαμεν ἄν.

v. 64. Πλὴν — — — — — — — ȣ̓ρανοῦ.

* * *

Ἀπάρτι, ἀντὶ τοῦ μετὰ μικρόν. δηλοῖ δὲ τὸν μέχρι τῆς ἀναςάσεως αὐτοῦ καιρόν. ὄψεσθέ με τὸν παρ' ὑμῶν ἀναιρούμενον, καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως τῆς τοῦ θεοῦ, ἤγουν σύνθρονον τῷ θεῷ καὶ πατρί. ἔτι δὲ καὶ ἐρχόμενον κατὰ τὴν δευτέραν παρουσίαν ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὡς θεόν. ὄψεσθε δὲ εἶπεν, οὐχ ὡς δυναμένων ȣ̔́τως ἰδεῖν αὐτὸν, ἀλλ' ὡς διαμαρτυρόμενος, ἢ καὶ πρὸς τοὺς μέλλοντας ἐξ αὐτῶν πιςεύειν, ὁ λόγος. τὸ δὲ ὄψεσθε δηλοῖ καὶ τὸ, γνώσεσθε. Φησὶ δὲ καὶ ὁ Λουκᾶς, ὅτι ἀπὸ τοῦ νῦν ἔσαι ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεȣ̃, τουτέςι βραχὺς ὁ καιρὸς τῆς [22]) κατ' ἐμοῦ ἐπιβȣλῆς, οὐκ

21) Refertur ad priora, vbi legitur, εἰ σὺ εἶ ὁ Χριςὸς κ. τ. λ.
22) Κατ' ἐμὲ. Cod. A.

οὐκ εἰς μακρὰν γάρ, ἀνώτερος τῶν ἐπιβουλευόντων γενήσομαι.

v. 65. Τότε ὁ — — — — — — μαρτύρων.

* * *

Ἔθος τοῖς Ἰουδαίοις, ὅταν τι χαλεπὸν καὶ φρικτὸν ἴδωσιν ἢ ἀκούσωσι, διαῤῥήσσειν τὰ ἱμάτια αὐτῶν, ὅπερ καὶ νῦν ὁ ἀρχιερεὺς ἐποίησεν, ὡς ἀκούσας δῆθεν βλασφημίας οὐκ ἀνεκτῆς. ἅμα δὲ καὶ ἄκων, ἀφ᾽ ὧν ἐποίησε, προεφήτευσεν, ὅτι διαῤῥηχθήσεται ἡ ἀρχιερωσύνη τῶν Ἰουδαίων.

v. 65. Ἴδε — — — — — — v. 66. δοκεῖ.

* * *

Αὐξήσας τὴν κατηγορίαν τοῦ λεχθέντος, καὶ βλασφημίαν τοῦτο καλέσας, καὶ προκαταδικάσας αὐτὸν καὶ [23] ὁδὸς ἤδη καὶ τοῖς ἄλλοις εἰς τὸ καταδικάσαι γενόμενος, λοιπὸν, ὡς φανεροῦ τοῦ πλημμελήματος ὄντος, ἀναγκάζει καὶ αὐτοὺς ἀποφήνασθαι, ἵνα κυρωθείσης οὕτω τῆς καταδίκης ὑπεύθυνον ἀπεντεῦθεν αὐτὸν παραδοῖεν τῷ Πιλάτῳ πρὸς ἀναίρεσιν.

v. 66. Οἱ δὲ — — — — — — — ἐστίν.

* * *

Ὅπερ ἐβούλοντο, τοῦτο καὶ ἀπεφήναντο. διεφθαρμένης οὖν γνώμης διεφθαρμένη καὶ ἡ ἀπόφασις. ὁ δὲ Λουκᾶς ἔγραψεν, ὅτι καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν, λέγοντες, εἰ σὺ εἶ ὁ Χριστὸς, εἰπὲ ἡμῖν. εἶπε δὲ αὐτοῖς, ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι ἢ ἀπολύσητε. ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ. εἶπον δὲ πάντες, σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; ὁ δὲ πρὸς αὐτοὺς ἔφη· ὑμεῖς λέγετε, ὅτι ἐγώ εἰμι. οἱ δὲ εἶπον, τί ἔτι χρείαν ἔχομεν μαρτυρίας. αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ. εἰκὸς γὰρ καὶ τὸν ἀρχιερέα καὶ τοὺς συνεδριάζοντας, ἐπερωτᾶν καὶ ἀνακρίνειν αὐτὸν, πάλιν τε αὐτὸν ἀποκρίνεσθαι καὶ πρὸς ἐκεῖνον καὶ πρὸς αὐτούς. καὶ διατί μὴ λάθρα τοῦτον ἀνεῖλον; διὰ τὸ μὴ δόξαι κατὰ φθόνον αὐτὸν ἀνελεῖν. ἐσπούδαζον οὖν δημοσίᾳ τοῦτον, ὡς κακοῦρ-

23) Durum quodammodo τὸ ὁδὸς. Malim ὁδηγός. Vterque tamen Codex consentit in ὁδός.

κακοῦργον ἀναιρεθῆναι, μηχανώμενοι βλάψαι τὴν ὑπόληψιν αὐτοῦ. διὰ τοῦτο γὰρ καὶ ςαυρῷ τοῦτον ἀναιρεθῆναι ᾐτήσαντο, καὶ λῃςὰς αὐτῷ συνεςαύρωσαν. γέγονε δὲ τοὐναντίον, εἰς ἐβάλλοντο. δημοσίᾳ γὰρ ἀναιρεθέντος, μᾶλλον ἐξέλαμψεν ἡ δόξα αὐτοῦ καὶ ἐπὶ τοῦ τάφου δὲ πάλιν αἱ σφραγῖδες καὶ ἡ παραφυλακὴ μᾶλλον διαλάμψαι τὴν ἀλήθειαν πεποιήκασι.

v. 67. Τότε — — — — — — — αὐτοῦ.

* *
*

Φρῖξον οὐρανὲ καὶ γῆ καὶ σύμπασα κτίσις, εἰς οἷον πρόσωπον, οἵαν ἀτιμίαν ἐπήγαγον.

v. 67. Καὶ ἐκολάφισαν — — — v. 68. παίσας σε.

* *
*

Ἐπεὶ παρὰ πολλοῖς προφήτης ἐλέγετο, διέπαιζον αὐτὸν, ὡς ψευδοπροφήτην. περικαλύψαντες γὰρ ἱματίῳ τὸ πρόσωπον αὐτοῦ, πρὸς τὸ μὴ βλέπειν, ὡς Μάρκος καὶ Λουκᾶς εἶπον, τοῦτο μὲν ἐκολάφιζον, τοῦτο δὲ ἐῤῥάπιζον, λέγοντες, προφήτευσον ἡμῖν Χριςὲ, τίς ἐςιν ὁ παίσας σε. ἔςι δὲ κολαφισμὸς μὲν τὸ παίειν κατὰ τοῦ τραχήλου κοίλῃ ἀφῇ, πρὸς τὸ ποιεῖν ψόφον· ῥαπισμὸς δὲ, τὸ παίειν κατὰ τοῦ προσώπου. μετὰ γὰρ τὴν ἄδικον καταδίκην, ὡς ἄτιμόν τινα καὶ τριωβολιμαῖον λαβόντες μέσον αὐτὸν, οἱ μὲν πᾶσαν εἰς αὐτὸν ἐνεδείκνυντο παροινίαν, οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ δοῦλοι, καὶ παντοίαν ἐκίνουν κατ' αὐτοῦ μανίαν, καὶ ἡδέως τῆς λύττης ἐνεφοροῦντο· ὁ δὲ πάντα μεγαλοψύχως ὑπέμενε, διδάσκων ἀνέχεσθαι. καὶ ἦν παρ' ἐκείνοις μὲν κακίας ὑπερβολὴ, παρὰ τούτῳ δὲ ἀνεξικακίας. ἄξιον δὲ θαυμάσαι καὶ τοὺς εὐαγγελιςὰς, πῶς καὶ τὰ δοκοῦντα ἐπονείδιςα φιλαλήθως ἀπαγγέλλουσι, καὶ οὔτε τὸν Ἰούδαν ἢ τοὺς Ἰουδαίους ὡς ἐχθροὺς διασύρουσιν, οὔτε τὸν διδάσκαλον ὡς [24]) ὁ διδάσκαλος ὑψοῦσιν, ἀλλ' ἀπαθῶς ἅπαντα διηγοῦνται, καὶ μόνης τῆς ἀληθείας φροντίζουσι, καὶ πανταχοῦ γίνονται τῆς χρείας.

v. 69.

24) ὡς διδάσκαλον, rectius Cod. A.

v. 69. Ὁ δὲ — — — — — v. 70. τί λέγεις.

* *
*

Σκόπει, πῶς τὸν πρὸ μικροῦ τηλικαῦτα μεγαλαυχήσαντα θεραπαινίδιον ἀσθενὲς ἐπτόησεν, ὡς ὑπὸ τῆς θείας χάριτος ἐγκαταλειφθέντα.

v. 71. Ἐξελθόντα — — — v. 72. τὸν ἄνθρωπον.

* *
*

Φεῦ, οἷα διέθηκεν αὐτὸν ὁ φόβος. οὐ μόνον γὰρ ἠρνήσατο, ἀλλὰ καὶ μετ' ὅρκου. ἐξῆλθε δὲ οὐκ ἔξω τοῦ πυλῶνος, ἀλλ' εἰς τὸν πυλῶνα, τουτέστιν εἰς τὸ προαύλιον, ὡς ὁ Μάρκος εἶπε.

v. 73. Μετὰ μικρὸν — — — v. 74. τὸν ἄνθρωπον.

* *
*

Ὁ δὲ Μάρκος ἔγραψεν, ὅτι καὶ γὰρ Γαλιλαῖος εἶ, καὶ ἡ λαλιά σου ὁμοιάζει. εἶχον γάρ τι παράσημον στολῆς οἱ Γαλιλαῖοι, καὶ μὴν καὶ ἰδιώματά τινα διαλέκτου. καταθεματίζειν [25]) δέ ἐστι, τὸ ἀναθεματίζειν. οὕτω γὰρ ὁ Μάρκος εἶπε, καὶ ἄμφω δὲ ταυτὶ, τὸ καταρᾶσθαι δηλοῦσι.

v. 74. Καὶ εὐθέως — — — — — — v. 75. με.

* *
*

Μάρκος δέ φησιν, ὅτε μὲν ἅπαξ ὁ Πέτρος ἠρνήσατο, τότε τὸν ἀλέκτορα φωνῆσαι τὸ πρῶτον, ὅτε δὲ τρίτον, τότε τὸ δεύτερον. ἐσημειώσατο δὲ τοῦτο, δηλῶν, ὅτι οὔτε ἡ πρώτη φωνὴ τοῦ ἀλέκτορος ἀνέμνησεν αὐτόν. καὶ ὁ Λουκᾶς δὲ λέγει πάλιν, ὅτι μετὰ τὸ φωνῆσαι τὸν ἀλέκτορα, στραφεὶς ὁ κύριος ἐνέβλεψε τῷ Πέτρῳ, διὰ τοῦ βλέμματος ὑπομιμνήσκων αὐτόν. τοσοῦτον γὰρ αὐτοῦ κατεκράτησεν ὁ φόβος, ὡς ἀποτεθνηκέναι μικροῦ, καὶ τοῦ ἀλέκτορος φωνήσαντος οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς, μηδ' οὕτως εἰς αἴσθησιν ἐλθεῖν, ἀλλὰ δεηθῆναι καὶ τοῦ βλέμματος τοῦ σωτῆρος. ἴδε γοῦν ἀσθένειαν, πῶς ἐν βραχεῖ καιρῷ, τρίτον ἠρνήσατο, καὶ ἐκ διαδοχῆς τὰς τρεῖς ἀρνήσεις ἐποιήσατο, καὶ οὐκ ἐταζόμενος, ἀλλ' ὡς ἔτυχε κατὰ πάροδον ἐρωτώμενος.

v. 75.

25) Ita pro καταναθεματίζειν et hic in vtroque Codice reperi, et alibi in contextu facro in aliis Codd. vt fuo tempore, cum noftra Noui Teftamenti editio, in qua textum ex folis Codd. Mofqq. exhibemus, apparebit.

v. 75. Καὶ ἐξελθὼν — — — — — πικρῶς.

* * *

Ἐξῆλθεν ἔξω, φοβούμενος μήποτε κλαίων κατασχεθῇ καὶ αὐτός. ἔκλαυσε δὲ οὐχ ἁπλῶς, ἀλλὰ πικρῶς. ὁ δὲ Μάρκος εἶπεν, ὅτι ἐπιβαλὼν ἔκλαιεν. ἐπιβαλὼν, ἀντὶ τοῦ ἀρξάμενος. Ἰωάννης δὲ καὶ τοῦτο παρέδραμεν, ὡς τοῖς ἄλλοις εἰρημένον. εἶδες τὴν ἁμαρτίαν, ἴδε καὶ τὴν μετάνοιαν. διὰ τοῦτο γὰρ καὶ αἱ ἁμαρτίαι καὶ αἱ μετάνοιαι τῶν ἁγίων ἐγράφησαν, ἵνα ὅταν ἁμαρτῶμεν, μιμώμεθα τὴν τούτων μετάνοιαν. παρεχωρήθη δὲ πεσεῖν ὁ Πέτρος, οὐ μόνον διὰ τὰς ἀνωτέρω ῥηθείσας αἰτίας, ἀλλὰ καὶ ἵνα μάθῃ συγγνωμονεῖν τοῖς ὀλισθαίνουσιν, ἐκ τῆς οἰκείας ἀσθενείας, καὶ τὴν τούτων ἐπιγινώσκων. ἔμελλε γὰρ ποιμὴν καταστῆναι, καὶ ἵνα τελεσιουργὸς μεγάλων θαυμάτων γινόμενος μετριοφρονῇ καὶ τοῦ πτώματος μνημονεύων τῷ θεῷ τὸ πᾶν ἐπιγράφηται. καὶ Παῦλος γὰρ πειρασμοῖς [26]) ἀφέθη παλαίειν, ἵνα μὴ, ὡς αὐτός φησιν, ὑπεραίρηται· τὸ δὲ μεῖζον, ἵνα τοῖς ἁμαρτάνουσι λαμπρὸν εἴη παράδειγμα μετανοίας. εἰ [27]) γὰρ ὁ κορυφαῖος τῶν μαθητῶν, ὁ τηλικούτων δυνάμεων τὰς μὲν ἰδὼν, τὰς δὲ τελέσας, ὕστερον ὠλίσθησεν εἰς ἄρνησιν, εἶτα τὸ πεπλημμελημένον ἐπιγνοὺς καὶ μετανοήσας, οὐ μόνον ἐν ὀλίγῳ καιρῷ τέλεον ἅπαν [28]) ἀπήλειψεν, ἀλλὰ καὶ ποιμὴν τῶν ἄλλων μαθητῶν προεβλήθη, καὶ πολλῶν καὶ μεγάλων θαυμάτων αὐτουργὸς ἐχρημάτισεν· οὐδένα πεσόντα χρὴ καταπεσεῖν, ἀλλ᾽ αὐτίκα μετανοεῖν, ἐννοοῦντα τὸν πλοῦτον τῆς τοῦ δεσπότου χρηστότητος. κἀνταῦθα δὲ παρατηρητέον, ὅτι Ματθαῖος μὲν καὶ Μάρκος ἔγραψαν, πρῶτον γενέσθαι τὴν παρὰ τοῦ ἀρχιερέως ἐρώτησιν, εἶτα τὰς ἀπὸ τῶν Ἰουδαίων ἀτιμίας, ἔπειτα τὰς ἀρνήσεις τοῦ Πέτρου· Λουκᾶς δὲ πρῶτον τὰς ἀρνήσεις, εἶτα τὰς ἀτιμίας, ἔπειτα γενομένης ἡμέρας λοιπὸν, τὴν ἐρώτησιν. οἱ μὲν γὰρ οὐ μόνον ἀπήγγειλαν τὰ πεπραγμένα, ἀλλὰ καὶ τῆς τάξεως αὐτῶν ἐφρόντισαν· ὁ δὲ μόνης τῆς ἀπαγγελίας τῶν πεπραγμένων γενόμενος, τῆς τάξεως αὐτῶν οὐκ ἐφρόντισεν.

26) Ἀφείθη. Cod. A.
27) Εἰκὸς, pro εἰ dat Cod. A.
28) Ἀπήλειψεν, ab ἀπαλείφω Cod. B. Ἀπείληψεν (corrige ἀπείληφεν) Cod. A. In illo intellige τὸ πεπλημμελημένον. Sed melius eſt cum Cod. A. ſcribere ἀπείληφεν, i. e. τὴν τελειότητα ἀπείληφεν. Priori ſi aſſentiaris vocabulum τέλεον eſt aduerbium; ſin poſteriori, eſt adiectiuum.

III.

EXCERPTA

EX

ANONYMI [1]) LIBELLO MEDICO.

Fol. 3. Περὶ Πολύποδος.

Ὁ δὲ πολύπους ὄγκος ἐστὶ παρὰ φύσιν ἐν ταῖς ῥισὶν γινόμενος, ὅμοιος ταῖς τοῦ πολύποδος πλεκτάναις. τῆς αὐτῆς δὲ οὐσίας ἐστὶν καὶ τὸ σάρκωμα. δεῖ καὶ ἐπὶ τούτων τῶν νοσημάτων πρῶτον μὲν καθαίρειν τὴν τοῦ ὅλου σώματος κακοχυμίαν διὰ τῆς ἱερᾶς, ἔπειτα καὶ τοῖς ἀποφλεγματισμοῖς χρήσασθαι καὶ τοῖς ἐν ῥίνοις, εἶθ᾽ οὕτως τοῖς τοπικοῖς βοηθήμασι, πρὸς πόλυπας καὶ σαρκώματα καὶ χαλκάνθου κεκαυμένου ∠ δ΄. μιλτιοῦ σινώπιδος ∠ α΄. λειοῖς ἐμφύσα διὰ καλάμου. Ἄλλο καλακάνθου καὶ σανδαράχης ἴσα λειώσας ἐμφύσα. Ἄλλο σανδαράχης λεπίδος ἐρυθρᾶς ἀνὰ ∠ δ΄. στυπτηρίας ∠ β΄. λειώσας ἐμφύσα. Ἄλλο βρυωνίας ῥίζης ξηρᾶς, χαλκάνθου ἀφονίτρου ἐλατηρίου λειώσας ξηρὸν χρῶ.

Ibid. Πρὸς τὰ τῆς ῥινὸς ἕλκη.

Ψιμυθίου Γο. γ΄. λιθαργύρου Γο. α΄. μολίβδου ☧ Γο. α΄. οἴνῳ καὶ μυρσίνῳ ἐλαίῳ ἀναλαβὼν χρῶ. Ἄλλο λιθαργύρου ∠ δ΄. στυπτηρίας ※ ∠ β΄. πηγάνου φύλλα ∠ δ΄. μυρσίνῳ ἐλαίῳ καὶ ὄξει λειώσας χρῶ καὶ πρὸς τὰ γλυκέα λεγόμενα.

ἄλλο

1) Edidi haec ex Cod. SS. num. 383. in 8. Eſt hic codex et a principio et in fine, ni fallor, mutilus. Scriptus videtur Sec. XII. Multa in eo ſunt vitia orthographica. Auctor ipſe, quantum equidem intelligo, non ignobilis medicus videtur fuiſſe. Dicendi genus certe argumento dogmatico ſatis conuenit. Nam puritate, breuitate, perſpicuitate et ſubtilitate commendatur. Ceterum vix mihi perſuadere poſſum, hunc libellum nondum eſſe editum. Ergo pauca tantum ex eo ſpeciminis cauſa edidi. Si tamen intellexero, nondum editum eſſe, totum exſcribam, et vni ex amicis meis, medico et critico doctiſſimo, edendum mittam.

ἄλλο ψιμυθίου ∠ γ΄. λιθαργύρου ∠ β΄. μολιβοσκούρου ∠ β΄. συπτηρίας ∠ α΄. κηροῦ ∠ ε΄. τερεβινθίνης ∠ β΄. σέατος χηνίου ∠ γ΄. λαδάνου ∠ β΄. ῥοδίνου τὸ ἀρκοῦν.

Ibid. Περὶ τῆς ἐκ ῥινῶν αἱμοῤῥαγίας.

Χαλκίτην λεάνας πανίον μωτὸν ποιήσας ἔμβαψον εἰς ὄξος, καὶ ἐν αὐτῷ κυλίσας ἔμβαλε τῇ ῥινί. Ἄλλο ὀοῦ ὄστρακον καύσας μίσγε αὐτὸ κικίδος καὶ ὡσαύτως χρῶ, ἢ μυλίτου λίθου καέντος καὶ σβεσθέντος ὄξει τὴν ἀτμίδα ὀσφραινέσθω. Ἄλλο μανὶς λιβάνου καὶ ἀλόης μετὰ τὸ λευκὸν τοῦ ὀοῦ μωτὸν ἀλείψας ἔμβαλε τῇ ῥινί. Ἄλλο ἀκακίαν καὶ συπτηρίαν σὺν ὄξει λειώσας ἔμβαλε. Ἄλλο χαλκίτην καὶ πράσου χυλὸν σὺν [2]) λειώσας ἔμβαλε. βροχίζειν δὲ καὶ τὰς χεῖρας καὶ σικυὰν κατὰ τοῦ σπλάγχνου κατὰ τὸν αἱμοῤῥαγοῦν μυκτῆρα ἔμβαλλε, ἢ σπόγγῳ ἐξ ὀξυκράτου ψυχροῦ ἐπιτίθει τῷ μετώπῳ, καὶ ψυχρὸν ὕδωρ κατὰ τῆς κεφαλῆς ἐπίχεε. Ἄλλο γύψον κεκαυμένον ἢ βόλον μετὰ ὀοῦ τὸ λευκὸν κατὰ τοῦ μετώπου ἐπιτίθει. Φράττειν δὲ καὶ τὰ ὦτα.

Fol. 17. Περὶ διαφορᾶς πυρετῶν.

Ὅτι μὲν τοίνυν τοῦ ἐν τῇ καρδίᾳ ἐμφύτου θερμοῦ τροπή ἐστιν ὁ πυρετὸς πᾶσιν ὁμολογεῖται. καὶ διὰ τοῦτο ἐν τοῖς πάθεσιν αὐτῆς ἀριθμητέον καὶ τούτους. ἀλλὰ πρόγε τούτων εἴπομεν τί ἐστιν πυρετός. πυρετός ἐστιν ἡ παρὰ φύσιν ἐκ τῆς καρδίας ἐπὶ τὸ πᾶν σῶμα φερομένη θερμασία. τούτου δὲ διαφοραὶ πολλαί.

Fol. 18. Περὶ ἐφημέρων πυρετῶν καὶ πολυημέρων.

Ὁ ἐφήμερος πυρετὸς εὔλυτός ἐστιν. μίαν γὰρ ἡμέραν κρατεῖ. γίνεται δὲ ἐπὶ θυμοῖς ἢ λύπαις ἢ φροντίσιν ἢ κόποις ἢ ἡλιοκαΐαις καὶ τοῖς τοιούτοις. ὅθεν καὶ τὰ οὖρα ἐπ᾽ αὐτῶν κατὰ φύσιν εἰσίν. θεραπεία δὲ τούτων μετὰ τὴν πρώτην ἡμέραν ἐπὶ λουτρὸν ἄγειν καὶ ἀλείφειν ἐλαίῳ, καὶ λούσαντα τρέφειν, καὶ ἐπὶ τὰ συνήθη ἔργα ἀπολύειν. ἔστιν ὅτε οὐ μίαν ἡμέραν κρατεῖ, ἀλλὰ καὶ τρεῖς ἢ τέσσαρας, καὶ λέγεται πολυήμερος. τὰ δὲ αἴτια τὰ αὐτά, καὶ ἡ θεραπεία ὁμοίως.

Ibid.

2) Hic haud dubie excidit vocabulum.

Ibid. Περὶ συνεχοῦς πυρετοῦ καὶ συνόχου.

Συνεχὴς πυρετός ἐστιν, ὁ μὴ ἔχων διάλειμμα τῆς θερμασίας, ὕφεσιν δὲ μόνον καὶ μειοπυρεξίαν ἐν τῇ παρακμῇ τῶν παροξυσμῶν. σύνοχος δὲ, ὁ μηδεμίαν μειοπυρεξίαν ἔχων. τούτου δὲ τρία εἴδη τὰ σύμπαντα, ἀκμαστικὸς, παρακμαστικὸς, ἐπακμαστικός. γίνονται δὲ οἱ σύνοχοι καὶ οἱ συνεχεῖς πάντες ἔσω τῶν ἀγγείων τῆς ὕλης σηπομένης τε καὶ ζεούσης, καὶ δεῖ σχεδὸν ἐπὶ πάντων καὶ μάλιστα τῶν συνοχῶν φλεβοτομεῖν καὶ τρέφειν τὰς ὑγρὰς καὶ ψυχούσας τροφὰς, οἷον θριδακίνας, ἴντυβα καὶ τὰ τοιαῦτα, καὶ ὕδωρ ψυχρὸν δοτέον, εἰ μὴ σπλάγχνον τί κακοπραγῇ-ἔξωθεν δὲ ἀλείφειν τοῖς λιξοπυρέτοις. οἷον ἀμαράντου χυλὸν, στρύχνου, κολοκύνθης καὶ τῶν τοιούτων. τὸ δὲ σπλάγχνον τὰ διὰ λινοσπέρμου καὶ ψυλλίου καὶ ἀλθαίας καὶ χαμαιμήλων, ηριγέροντος ἢ ἀνδράχνης ἢ στρύχνου ἢ τὴν ἐπὶ τῶν ὑδάτων φακὴν σὺν ὀοῖς καὶ ὅσα τοιαῦτα.

Ibid. Περὶ τριταίου.

Τριταῖός ἐστιν διαλείπων πυρετὸς, ὁ διὰ μίας ἡμέρας εἰσβάλλων. γίνεται δὲ ἐπὶ χολῇ ξανθῇ σηπομένῃ ἔξω τῶν ἀγγείων. εἰσβάλλει δὲ μετὰ ῥίγους, ἀποπαύεται δὲ μετὰ ἱδρώτων, ἕπεται δὲ αὐτῇ καὶ χολῆς ἔμετος, καὶ καταῤῥῆξις γαστρὸς χολωδῶν, καὶ οὖρα δριμέα, τὸ δὲ μέγιστον μῆκος τοῦ παροξυσμοῦ ἐστιν ὡρῶν ιβ, καὶ ἀποπαύεται. τούτοις συμφέρει ὑγραίνουσα καὶ ψύχουσα δίαιτα, καὶ ὑδροποσία, καὶ τὸ μὲν εἰς γαστέρα συῤῥέον χολῶδες δι' ἐμέτων ἢ κάτω προτρέπειν διὰ μαλακῶν κλυσμῶν. ἐν τοῖς οὔροις δὲ. σελήνου καὶ ἀνίθου τοῖς πώμασιν ἀποζεννύων διδόναι, ἔπειτα καὶ τοῦ ἀψινθίου διδόναι, καὶ εἰς λουτρὸν ἄγειν ποτίμων ὑδάτων, τοὺς δὲ φιλολούτρους οὐδ' ἂν τις δὶς λούειν ἁμαρτάνοιεν.

Fol. 19. Περὶ νόθου τριταίου.

Ἐπὶ δὲ τῶν νόθων τριταίων οὐ δεῖ λούειν καταρχὰς, ἀλλ' ὅταν φανῶσιν σημεῖα γαστρὸς, καὶ εἰ αἵματος ἀφαιρέσεως χρεία, μηδὲ ταῦτο παραλιπεῖν. δίαιταν δὲ μὴ τὴν ψύχουσαν, ὡς ἐπὶ τοῦ ἀκριβοῦς τριταίου εἴρηται, ἀλλὰ τμητικωτέραν, οἷον πτισάνης χυλὸν ἐμβαλλομένου πεπέρεως ἢ ὑσσώπου ἢ ὀριγάνου καὶ ναρδοστάχυος διδόναι καὶ

τῶν διουρητικῶν, οἷον σελίνου ἀφέψημα ἢ μαράθρου ἢ ἀδιάντου. διδόναι δὲ καὶ τὸ ὀξύμελι μετὰ τὴν ζ΄ ἡμέραν, καὶ τὸ ἀψίνθιον. τοῖς δὲ χρονίζουσι συμφέρει καὶ ὁ ἀπὸ τροφῆς ἔμετος καὶ ἡ διὰ γαστρὸς κένωσις.

Ibid. Περὶ τεταρταίου.

Ὁ δὲ τεταρταῖος πυρετός ἐστι διαλείπων, διὰ δύο ἡμερῶν εἰσβάλλων. γίνεται δὲ ἐπὶ μελαγχολικῷ χυμῷ σηπομένων ἔξω τῶν ἀγγείων. ἔχει δὲ ῥίγος ἐν τῇ εἰσβολῇ καὶ σφυγμοὺς ἀραιοὺς καὶ οὖρα λεπτὰ καὶ λευκὰ ἢ μέλαινα καὶ παχεῖαν ὑπόστασιν ἔχοντα. ἐπὶ τούτων καὶ σπλὴν κακοπραγεῖ. τούτοις καταρχὰς μήτε φάρμακον δοτέον, μήτε κένωσιν, εἰ πλεονάζοι δὲ αἷμα, τηνικαῦτα χρὴ φλεβοτομεῖν, καὶ χρηστὴν προσάγειν δίαιταν, καὶ ὑπομαλάσσειν τὴν κοιλίαν δι᾽ ἀποζέσματος ἐπιθύμου καὶ γλήχωνος, καὶ δι᾽ ἡμερῶν γ΄ διδόναι τὸ διὰ τριῶν πεπέρεων ἢ τοῦ διοσπολίτου, ἢ πέπερι μόνον σὺν ὕδατι θερμῷ λαμβάνειν πρὸ τοῦ παροξυσμοῦ. χρᾶσθαι δὲ καὶ τοῖς διουρητικοῖς φαρμάκοις, οἷόν ἐστι τό τε σελίνου καὶ τὸ ἄσαρ καὶ τὸ ἀδίαντον. μαλάττειν δὲ καὶ τὸ σπλάγχνον δι᾽ ἐμπλάστρων τήν τε κοπτὴν καὶ τὴν χρυσῆν καὶ τὰ πολυάρχια. μετὰ δὲ τὴν πέψιν τοῦ νοσήματος διδόναι ἀντιδότους τήν τε διὰ θείου καὶ τὴν μοῦσαν, δηλονότι προκενώσαντες διὰ γαστρὸς τὸν μελαγχολικὸν χυμόν. εἶτα διδόναι τῆς θηριακῆς καὶ τὸ διὰ τοῦ ὀποῦ τοῦ κυρηναϊκοῦ φάρμακον. δίδου δὲ καὶ τὰ ταριχευτὰ ἐσθίειν καὶ νάπυος. ἔστι δὲ τὸ νόσημα χρόνιον, θανατῶδες δὲ οὔ.

Fol. 20. Περὶ ἀμφημερινοῦ.

Ἀμφημερινός ἐστιν διαλείπων πυρετὸς ὁ καθημέραν εἰσβάλλων, καὶ ἔχει τὸν παροξυσμὸν ὡρῶν ιη. γίνεται δὲ ἐπὶ φλέγματι σηπομένῳ ἔξω τῶν ἀγγείων καὶ μάλιστα ἐπὶ κακοπραγίᾳ στομάχου. ποιεῖ δὲ περίψυξιν τῶν ἄκρων ἐν τῇ εἰσβολῇ καὶ οὐ φρίκην, φλέγματος ἔμετον, οὖρα ἢ λεπτὰ καὶ λευκὰ ἢ παχέα καὶ θολερά. γίνεται δὲ παιδίοις καὶ γυναιξὶν ὡς ἐπίπαν. τούτοις διδόναι καταρχὰς μὲν ὀξυμέλιτι καὶ τοῖς διουρητικοῖς, οἷον σελίνου, ἀσάρου, διάντου, εἶτα ὀξυμέλιτι μετὰ ῥαφανίδων δίδου ἐσθίειν καὶ ἐμεῖν κέλευε, εἶτα καθάρσιον διὰ κολοκυνθίδος, ἢ ἀγαρικοῦ καὶ ὅσα φλέγματος ἀγωγά εἰσι. τροφὴ δὲ λεπτοτέρα, οἷον διὰ κυμίνου καὶ πεπέρεως καὶ τῶν τοιούτων. ἐπιμελητέον δὲ

δὲ καὶ τοῦ ςόματος τῆς γαςρὸς διά τε καταπλασμάτων καὶ ἐμπλάςρων καὶ τῆς λοιπῆς ἀγωγῆς.

Fol. 21. Περὶ ἡμιτριταίου.

Ἡμιτριταῖος σύνθετός ἐςιν ἐκ τριταίου διαλείποντος καὶ συνεχοῦς ἀφημερινοῦ συνιςάμενος ἐπὶ χολῇ καὶ φλέγματι σηπομένων. καὶ δεῖ ἐπὶ τούτου καὶ τὴν θεραπείαν σύνθετον εἶναι. καὶ εἰ μὲν ἐπικρατέςερον εἴη τὸ φλέγμα, τοῖς ἐπὶ τοῦ ἀφημερινοῦ λελεγμένοις μάλιςα χρησώμεθα βοηθήμασιν, εἰ δὲ ἡ ξανθὴ χολὴ, τοῖς ἐπὶ τριταίου καθόλου πρὸς τὸ κατεπεῖγον ἐνιςάμενοι.

Fol. 25. Περὶ τῶν κατὰ τὸν ςόμαχον καὶ γαςέρα καὶ ὑποχόνδρια παθῶν.

Περὶ ἀνορεξίας.

Ἡ ἀνορεξία, ἀποςροφή ἐςι σιτίων. γίνεται ἢ διὰ δυσκρασίαν τοῦ ςομάχου, ἢ διὰ χυμῶν περιουσίας. ἕπεται δὲ τῇ μὲν θερμῇ δυσκρασίᾳ δίψος καὶ ἀργαὶ κνισώδεις, τὴν δὲ ψυχρὰν ὀξυρεγμίαν. τῶν δὲ διὰ χυμῶν ἀνορεκτούντων, εἰ μὲν λεπτοί εἰσι καὶ δακνώδες δάκνονται τὸν ςόμαχον καὶ ναυτιῶσιν καὶ διψῶσιν μᾶλλον· εἰ δὲ παχεῖς καὶ γλίσχροι, ἄδιψοί εἰσιν ὡς ἐπίπαν. τοὺς μὲν οὖν διὰ θερμὴν δυσκρασίαν ἀνορεκτοῦντας ἡ ψύχουσα δίαιτα ὠφέλιμος, οἷον ἄρτος ἐξ ὀξυκράτου, ὀξύγαλα, ἴντυβα, θριδακίναις, πικτὴν καὶ τὰ δι᾽ ὄξους ἅπαντα· πόσις δὲ ὕδωρ καὶ ὄξος μεθ᾽ ὕδατος. τοὺς δὲ διὰ ψύξιν τὰ ἐναντία προσιέναι, οἷον δίδου παλαιὸν πίνειν, καὶ κονδῖτον καὶ ὑδρόγαρον, ἀνίσου τὲ καὶ πηγάνου καὶ πετροσελίνου τὸ ἀφέψημα καὶ πέπερι. διδόναι δὲ καὶ τὸ διὰ τριῶν πεπέρεως καὶ τὸ διὰ καλαμίνθης καὶ τὸ πολύαιτες καὶ τὸ διοσπολιτικὸν καὶ τὴν διὰ μόσχου καὶ τὴν θηριακὴν καὶ σκοροδοφαγίαν. τοὺς δὲ διὰ πλῆθος χυμῶν ἀνορεκτοῦντας ἐμεῖν κελεύσωμεν δι᾽ εὔκρατος ἢ μελικράτου ἢ καθαρτέον αὐτοὺς διὰ τῆς πικρᾶς ἢ διὰ τῶν μηλοκυδονίων τὸ λαμβάνον σκαμμωνίας ἢ τὸ διὰ τοῦ ῥοδομέλιτος ἐπιθέμετα ἀνορέκτοις. ὀμφακίου ∠ α. ῥόδων ξηρῶν ∠ α. ἀλόης ∠ α. κικίδος ∠ ε. φοινίκων Γο. β′. οἶνος. Ἄλλο οἰνάνθῃ μελιλώτων ῥόδων ἀνὰ ∠ γ′. μαςίχης Γο. α. κρόκου ∠ β′.

 ὀμφα-

ὀμφακίου ∠ β'. ἀλόης ∠ β'. . . . ὄξ̃ καὶ οἶνος. Ἄλλο ἀψινθίου, μελιλώτου, κικίδων ἀνὰ ∠ γ'. μαςίχης ∠ ε'. ῥόδων, κρόκου ἀνὰ ∠ β'. ἀλόης ∠ γ'. χρῶ.

Fol. 26. Περὶ βουλίμου.

Ἡ βούλιμος παντελής ἐςιν ἀνορεξία. γίνεται δὲ ἐπὶ ψύξει καὶ νεκρώσει τοῦ ςομάχου. καὶ δεῖ τοῖς θερμαίνουσιν ἄγαν χρῆσθαι οἱ τὸ διὰ καλαμίνθης, τὸ διὰ τριῶν πεπέρεως, τὸ διοσπολιτικὸν καὶ τὰ τοιαῦτα. ἔξωθεν δὲ τότε διὰ δαφνῶν καὶ τὸ πολυάρχιον καὶ τὸ εὐῶδες καὶ τὰ προειρημένα.

Ibid. Περὶ κυνώδους ὀρέξεως.

Κυνώδης ὄρεξίς ἐςιν, ὅταν ἀμέτρων σιτίων ὀρέγονται καὶ ἀεὶ ἐσθίοντες καὶ ἀεὶ πεινῶσιν, ὥσπερ οἱ κύνες μὴ χορταζόμενοι. γίνεται δὲ τὸ πάθος διὰ ψυχρὸν χυμὸν καὶ ὀξώδη ἐν τῷ ςομάχῳ. τούτοις διδόναι ὑδρόγαρον, καὶ τὸ διὰ τριῶν πεπέρεως καὶ τὸ κιδωνάτον καὶ τὸ διοσπολιτικὸν καὶ τὰ τοιαῦτα.

Ibid. Πρὸς τοὺς ἐκλύτους ςομάχους καὶ αἱμοῦντας τὴν τροφήν.

Ἀλόης, μαςίχης, ςύρακος Γο. β'. ἀψινθίου Γο. γ'. οἰνάνθης Γο. γ'. γλευκίνου ἐλαίου Γο. ς'. μηλίνου Γο. δ'. οἴνου τὸ ἀρκοῦν. βοηθήματα δὲ, ὅτε τῶν ἀμαζῶν τροχίσκον καὶ ὁ ἀςὴρ καὶ ὁ χυλὸς τῆς ῥοιᾶς μετὰ ἡδυόσμου χυλὸν, καὶ μέλιτος ἑψόμενα, ἕως μέλιτος πάχȣς καὶ ἐκλειχόμενα.

Ibid. Περὶ ἄσης καὶ σιελισμοῦ.

Τούτῳ γίνεται δι' ἁλμυρῷ φλέγματι ἐν τῷ ςομάχῳ ὄντι. καὶ δεῖ τοῖς ἐμετικοῖς κενοῦν τὸν ςόμαχον ἢ ὀξυμέλιτι ἢ διὰ ῥαφανίδων ἢ ὄξȣς σκιλλητικὸν, εἶθ' ȣ̃τως δοτέον τὴν πικράν.

IV.

EXCERPTA

EX

GRAMMATICA [1]) GEORGII LECAPENI.

Ἀρχὴ τοῦ ά.

Ἀπαγορεύω, τὸ ἀρνοῦμαι. ὡς τὸ ἀπαγορεύω σε τὴν πρὸς ἐμὲ εἴσοδον, ἤτοι ἀποκλείω. ἀπαγορεύω καὶ τὸ ἀποκάμνω καὶ ἐξαπορῶ, ὡς παρὰ Θουκυδίδῃ· ἀπαγορεύοντες τὸν πρὸς Σικελίαν ἀπόπλουν.

Ἀτιμάζω καὶ ἀτιμῶ διαφέρει. ἀτιμάζω μὲν τὸ περιφρονῶ καὶ μηδὲν ἄγω, τουτέστιν, οὐ φροντίζω τινός· ἀτιμῶ δὲ, τὸ ἀτίμως ποιῶ τινα δι᾽ ἔργου ἤτοι τὸ ἐκπομπεύω ἐπ᾽ ἀτιμίᾳ, ὡς καὶ Δημοσθένης κατ᾽ Αἰσχύνου· παύσῃ δὲ οὐδέποτε, εἰ μὴ σὲ νῦν οὗτοι παύσουσιν ἀτιμώσαντες τήμερον ἐπὶ τὸ βῆμα. σημείωσαι δὲ καὶ, ὅτι παρὰ τοῖς Ἀττικοῖς τὸ ἀτιμάζω λέγεται ἐπὶ ἀψύχων, τὸ δὲ ἀτιμῶ ἐπὶ ἐμψύχων.

Αἰσθάνομαι συντάσσεται καὶ γενικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν, ὡς παρὰ Θουκυδίδῃ· ἔτυχε γὰρ πρεσβεία πρότερον περὶ ἄλλων παροῦσα. καὶ ὡς ᾔσθοντο τῶν λόγων, ἔδοξεν αὐτοῖς παραιτητέα εἶναι. αἰτιατικῇ δὲ, ὡς παρὰ Θουκυδίδῃ· αἰσθανόμενοι δὲ οἱ τὸν Κερασοῦντα οἰκοῦντες τὴν ἔφοδον. . . . . σὺν τοῖς ὅπλοις ἀπήντων.

Ἄμαχον λέγεται τὸ ἀμήχανον, περὶ οὗ τίς οὐ δύναται μηχανὴν εὑρεῖν. ὡς καὶ ἄμαχον κάλλος, τὸ ὑπερφυές. λέγεται ἄμαχον καὶ τὸ ἀπρόσιτον, ὡς πρὸς πόλεμον, ἐξ οὗ καὶ ἄμαχον τὸ ἀνίκητον, ὡς καὶ Λιβάνιος· τὴν τοῦ ἔρωτος

1) Ex Cod. SS. num. 303. in 8. In codice hic index legitur: ἀρχὴ σὺν θεῷ τῆς γραμματικῆς κυροῦ γεωργίου τοῦ λεκαπηνοῦ. Hic libellus in hoc codice variis in locis non eſt integer. Videtur enim in loco madido iacuiſſe. Igitur multa deleta ſunt. Ea ineptus quidam homo denuo atramento induxit, qui tamen multum multoties a vero aberrauit. Ceterum de hoc Georgii libello vide Fabric. Bibl. Gr. Vol. VII. p. 45. et Leonem Allatium de Georgiis p. 363. ſeq.

φύσιν, ὡς ἄμαχος ὁ θεός, ὡς ἀνίκητος, ἀντὶ τοῦ, ὃν ἐ δύναταί τις μαχέσασθαι.

Ἀποφαίνειν λέγεται μὲν καὶ τὸ δεικνύειν καὶ ἐξελέγχειν ἐπ᾽ ἀληθεία βεβαίως τινὰ κακοῦργον ἢ ψεύςην ἢ μοιχὸν ἢ ἕτερόν τι τοιοῦτον. λέγεται δὲ ἀποφαίνειν καὶ τὸ παριςᾶν, οἷον τεκμηρίω τοῦτ᾽ ἀποφαίνειν. καὶ παρ᾽ Ἀριςοφάνει ἐν Νεφέλαις· κἀποφανῆ γε νὴ Δία ὡς ἐνδίκως ἔτυπτον. καὶ ἐν Πλάτω· κἂν μὴ ἀποφήνω μόνην ἀγαθῶν ἁπάντων αἰτίαν ἐμέ, ἀντὶ τοῦ δείξω καὶ φανερώσω.

Ἄριςος ἐπὶ σώματος, βέλτιςος ἐπὶ ψυχῆς.

Ἀπόκρισις ἀπολογίας τινὲς διαφέρειν λέγουσιν. ἀπολογία μὲν γάρ ἐςιν, ὅταν κατηγορούμενός τις ποιῆται ἀπολογίαν ὑπὲρ τῶν ἐγκλημάτων· ἀπόκρισις δέ, ὅταν ἐρωτώμενός τις ἁπλῶς περί τινος, ἀπόκρισιν διδῷ. ὁμοίως καὶ τὸ ἀπολογεῖται, ὅταν κατηγορῆται, καὶ ἀποκρίνεται, ὅταν ἁπλῶς ἐρωτᾶται. παρὰ δὲ τοῖς ῥήτορσι τίθενται καὶ ὡς ἐδὲν ἀλλήλων διαφέροντα, οἷον ἀπολογία ἀντ᾽ ἀποκρίσεως καὶ ἀντ᾽ ἀπολογίας ἀπόκρισις, καὶ ἀποκρίνομαι ἀντὶ τοῦ ἀπολογοῦμαι, ὡς καὶ Δημοσθένης ἐν τῷ κατ᾽ Αἰσχύνου· ἀπόκρινον γὰρ δεῦρο παρελθών μοι.

Ἀπατῶ καὶ ἐξαπατῶ συντασσόμενα αἰτιατικῇ, ὁμοίως καὶ ἀπάτη καὶ ἐξαπάτη. τὸ μὲν ἀπατῶ ὁμοίως καὶ ἡ ἀπάτη γράφεται κοινῶς· ἐξαπατῶ δὲ καὶ ἐξαπάτη ἀττικῶς, ὡς παρ᾽ Ἀριςοφάνει· οἴμοι δείλαιος τὴν ἐξαπάτην ᾔσθημαι.

Ἀποκρύπτειν λέγεται κοινῶς, τὸ συγκρύπτειν καὶ συγκαλύπτειν καὶ συσκιάζειν. ἀποκρύπτειν λέγεται καὶ τὸ νικᾶν, οἷον· ἀπέκρυψε τὸν τροχηλάτην ὁ κέλης. ἀποκρύπτειν καὶ τὸ ὑπεραίρειν καὶ διαβαίνειν, ὡς καὶ Συνέσιος· ἀφ᾽ ἐ. . . . . τὴν γῆν ἀποκρύπτομεν.

Ἀπήλλαξεν, ἀντὶ τοῦ ἀπηλλάγη, ὡσπερεὶ καὶ τὸ μετήλλαξεν, ἀντὶ τοῦ μετηλλάγη καὶ μετέςη.

Ἀκούσομαι δεῖ γράφειν τὸν μέλλοντα κατ᾽ Ἀττικούς, καὶ οὐκ ἀκούσω, ὥσπερ δὴ καὶ θρύψομαι καὶ ἀποκρύψομαι, ἐ μὴν δὲ θρύψω καὶ ἀποκρύψω.

Ἀπαντᾷν σημαίνει δύο· λέγεται μὲν γὰρ ἀπαντᾷν, ἀντὶ τοῦ ἀφικνεῖσθαι καὶ ἐμβάλλειν, οἷον· ἀπήντησεν εἰς ἀγορὰν ἐπὶ τῷ τὰ ἐπιτήδεια ὠνήσασθαι. καὶ Δημοσθένης· καὶ εἰς τὴν βελὴν καὶ τοὺς πεντακοσίους ἀπαντήσας, ἀντὶ τοῦ ἀφικόμενος. ἀπαντᾷν καὶ ἀντὶ τοῦ ἐναντιοῦσθαι καὶ μάχεσθαι, ὡς καὶ Ξενοφῶν· καὶ μετὰ δυνάμεως ἐλθὼν ἀπήντα τοῖς ἀπὸ Σούσων ἥκασιν.

Ἀνήλωκα καὶ ἀνάλωκα καὶ ἠνάλωκα, συντάσσεται αἰτιατικῇ, ὁμοίως καὶ ἐπίσης παρὰ τοῖς ῥήτορσι γραφόμενα,

πλὴν

πλὴν τὸ μὲν ἀνήλωκα καὶ ἠνάλωκα γράφεται ἀττικῶς· ἀνάλωκα δὲ, ἀναύξητον, κοινῶς. ὁμοίως καὶ ἐπὶ τῶν παθητικῶν, ἀνήλωται, ἀνάλωται καὶ ἠνάλωται, ἃ καὶ αὐτὰ παραπλησίως τοῖς ἐνεργητικοῖς γράφεται καὶ μετὰ τὴν αὐτὴν σύνταξιν.

Ἀμείβειν λέγεται, καὶ ἀντὶ τοῦ ἀλλάττειν, ὡς παρὰ Λιβανίῳ· πρῶτος εἰσῄει Τιβέριος πολλὰ ἀμείβων χρώματα, ὥσπερ ὁ χαμαιλέων. ἀμείβειν λέγεται, καὶ ἀντὶ τοῦ διέρχεσθαι, ὡς παρὰ Θουκυδίδῃ· καὶ τὴν ἐν τῷ στενῷ τῶν Κορινθίων θάλασσαν. ἐξαμείβειν δὲ, τὸ ἐκφεύγειν καὶ ἀπέρχεσθαι, ὡς παρ' Εὐριπίδῃ· εἰ μὴ χωρὶς ὀμμάτων ἐξαμείβ. . . . . καὶ ἐκφύγῃ.

Ἀγάλλω, τὸ κοσμῶ, καὶ ἤγαλλε τὴν τράπεζαν τοῖς ἐδέσμασι, καὶ ἀγάλλει τὴν ἐσθῆτα τοῖς μαργάροις, ὡς καὶ [2]) Ἀριστείδης· οἷς δ' ἂν τις ἀγῆλαι τήνδε τὴν ἡμέραν, ἀντὶ τοῦ κοσμῆσαι καὶ τιμῆσαι καὶ δοξάσαι καὶ λαμπρῦναι. ἀγάλλω γὰρ τὸ κοσμῶ καὶ τιμῶ καὶ λαμπρύνω. καὶ ἤγαλε καὶ ἤγηλε, καὶ ἀγῆλαι, ὡς τὸ σφῆλαι καὶ ψῆλαι, ἀντὶ τοῦ κροῦσαι καὶ κινῆσαι.

Ἀπενηνέγμεθα, ἀντὶ τοῦ ἀποκεκρούσμεθα.

Ἀποφέρει [3]) τὸ νόσημα τὸν ἄνθρωπον, ἤτοι θανατοῖ. Λιβάνιος· καίτοι χαλεπόν γε κρατῆσαι τοσούτων νοσημάτων, ὧν καὶ πολλοστὸν μέρος ῥᾳδίως ἂν με ἐπήνεγκεν (sic), ἀντὶ τοῦ . . . . θάνατον ἤγαγεν. ἀποφέρει καὶ γραφὴν, ἀντὶ τοῦ ἐκφέρει, ὅταν κατηγορῇ τίς τινος, ὡς καὶ παρὰ Δημοσθένει· Αἰσχύνης Ἀτρομήτου πρὸς τὸν ἄρχοντα παρανόμων ἀπήνεγκε γραφὴν κατὰ Κτησιφῶντος.

Ἀγωνία λέγεται καὶ ὁ ἀγὼν καὶ τὸ ἀγώνισμα. ἀγωνία καὶ ὁ φόβος καὶ ἡ δειλία.

Πᾶς ἀκροώμενος καὶ ἀκούει, οὐ μὴν πᾶς ὁ ἀκούων καὶ ἀκροᾶται. διὰ γοῦν τὸ δηλοῦν ἀκροᾶσθαι τὸ ἀκούειν, συντάσσεται γενικῇ.

Ἀφανίζειν λέγεται τὸ ἀπολλύναι καὶ φθείρειν, ὡς καὶ Ἀριστοφάνης· ἀνθ' ὧν ἐμὲ ζητεῖ τοι ἐνθάδ' ἀφανίσαι, ἀντὶ τοῦ ἀπολέσαι. ἀφανίζειν καὶ τὸ συσκιάζειν καὶ ἀφανῆ ποιῶ, ὡς καὶ Λιβάνιος· πονηρὸς [4]) μὲν ἂν ἦν τῇ μοιχείᾳ, πειρώμενος δὲ ἀφανίζειν τὸ πραχθέν. καὶ Ἀριστοφάνης·

 ὁ θεὶς

2) Eundem locum laudat Thom. Magist. in ἀγάλλω.

3) Ab initio hic in Cod. legitur ἀποφέρομαι, τὸ ἀποδιώκομαι, et ἀποφέρομαι, τὸ ἀποσκεδαίνω καὶ λαμβάνω. Omisi autem quia maxima ex parte erat deletum.

4) Vid. Liban. Epist. DLI. pag. 268. edit. Wolf. in fol.

ὁ θεὸς δ' εὐθέως ἀφανίσων ἑαυτόν. ᾧ ἐναντίον τὸ ἐμφανίζειν καὶ φανεροῦν.

Ἀφεστάναι τοῦ διεστηκέναι διαφέρει. ἀφεστάναι μὲν γὰρ λέγεται, ὅταν πλεῖστον ἀπέχωσι, διεστηκέναι δέ, τὸ κεχωρίσθαι τῇ γνώμῃ, πλησίον ὄντας.

Ἀπαθὴς παρὰ τοῖς Ἀττικοῖς ἐ λέγεται ὁ σπουδαῖος καὶ ὁ κατ' ἀρετὴν ζῶν, ἀλλ' ὁ ἔξω πάθους παντὸς σώματος καὶ δυσχερείας ἄλλης, δυναμένης φθορὰν ἐμποιῆσαι τῷ σώματι.

Ἀνέδην λέγεται ἀντὶ τοῦ φανερῶς καὶ προχείρως, ὡς καὶ Δημοσθένης· τῆς [5]) δὲ πομπείας τῆς ἀνέδην ἔτωσί γεγενημένης, ἀντὶ τοῦ φανερῶς, καὶ γράφεται ἀεὶ ψιλόν.

Ἀστεῖον λέγεται τὸ χάριεν, καὶ ἀττικῶς τὸ δεξιὸν καὶ θαυμάσιον, ὡς τὸ· ἀστεῖος ἦν ὁ Μωυσῆς παρὰ τῷ θεῷ, ἀντὶ τοῦ σπεδαῖος. σημείωσαι, ὅτι ἀστεῖον κυρίως τὸ σεμνὸν καὶ θαυμάσιον καὶ σπεδαῖον καὶ αἰδέσιμον.

Ἀδελφὸς ὁμοίως καὶ κωννᾶς ἀνήρ, στέφανον μὲν ἔχει, δίψῃ δ' ἀπόλωλε. παροιμία ταττομένη ἐπὶ τῶν κατορθούντων τινὰ νίκην ἢ ἀγῶνα, εἶτα μὴ τύχωσι (sic) ὑπὲρ ἐκείνων τὰ καθήκοντα καὶ ἄξια.

Ἀπαλλάττειν λέγεται, ἀντὶ τοῦ ῥύεσθαι καὶ ἐκλυτροῦν συντασσόμενον γενικῇ, οἷον ἀπαλλάττω σε τῶν κακῶν. καὶ παρ' Ἀριστοφάνει· ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας. ἀπαλλάττειν λέγεται καὶ τὸ διατρίβειν καὶ διαγίνεσθαι, ὡς παρὰ τῷ Ξενοφῶντι· ἀπήλλαττε δὴ μετὰ τῶν Σκυθῶν ὁ Κῦρος ἐν Ἰωνίᾳ. καὶ παρ' Εὐριπίδῃ· ἀνάγκη πεινῆν διὰ βίου καὶ ἀθλιώτερον ἀπαλλάττειν, ἀντὶ τοῦ διατρίβειν.

Ἀξιῶ τὸ δέομαι, ἀπὸ αἰτιατικῆς εἰς ἀπαρέμφατον, ὡς καὶ Δημοσθένης· περὶ τούτων δ' ὄντος τετουὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ἡμῶν ἀκοῦσαί μου περὶ τῶν κατηγορουμένων ἀπολογουμένου.

Ἀνίησιν ἡ γῆ τὰ φυτά, ἀντὶ τοῦ ἀναδίδωσιν, ἧως ἀναβλαστάνει, τὸ δὲ φυτὸν ἄνεισιν, ἀφ' οὗ καὶ ἀνεδόθη καιρίως ἐπὶ τῶν ἐκ γῆς βλαστησάντων λεγόμενον, ὡς καὶ παρ' Εὐριπίδῃ· σπαρτὸν ἀνῆκε γιγάντων γένος. ἀνίησι καὶ τὸ ἀφίησι, καὶ ἀνῆκε καὶ παρέδωκε ἐπὶ τοῦ ἀφῆκε λεγόμενον.

Ἄντικρυς καὶ ἀντικρῦ διαφέρει. ἄντικρυς μὲν γὰρ λέγεται ἀντὶ τοῦ φανερῶς· ἀντικρῦ δὲ περισπωμένως, χωρὶς τοῦ σ, λαμβάνεται ἀντὶ τοῦ ἐξ ἐναντίας καὶ ἀντιπρόσωπον, οἷον, ἀντικρῦ ἵσταται, καὶ ἀντικρῦ κάθηται.

Ἀμείβω

5) Pro Corona edit. Reisk. p. 229, 3.

Ἀμείβω τὸ ἀντικαταλλάσσω, ὡς καὶ Ὅμηρος· ὃς πρὸς Τυδείδην Διομήδεα τεύχ' ἄμειβεν· ὃ καὶ παθητικῶς παρὰ τοῖς ῥήτορσι γράφεται, οἷον ἀμείβεται τὰ ὤνια πρὸς χρυσίον, ἐπὶ πάθους λαμβανόμενον, ὡς παρ' Ἰαλιανῷ· παρ' ὑμῖν, δὲ διὰ περιττὴν Φρόνησιν ἀμειβομένων πρὸς χρυσίον. ἀμείβομαι, τὸ περιβέβλημαι, ὡς παρ' Εὐριπίδῃ, ἀμΦιτρίχ. . . . . δ' ἱμάτια . . . . . . ἀμείβομαι, ἀντὶ τοῦ περιβέβλημαι.

Ἀυτόχρημα, ἀντὶ τοῦ συντόμως καὶ ἀντὶ τοῦ ἄντικρυς.

Ἀλοίη, δοίη, γνοίη, διὰ διΦθόγγου δεῖ γράΦειν κατὰ τοὺς Ἀττικοὺς, καὶ οὐχὶ ἀλώη, δώη, γνώη. τὸ δὲ ἁλίσκεται ποτὲ μὲν μετοχῇ, ποτὲ δὲ ὀνόμασι συντάσσεται, ἔςι δ' ὅτε καὶ γενικῇ. . . . .

Ὅσα ἀπὸ τῶν εἰς μι κανονίζεται, ταῦτα καὶ ἀκριβέςερα παρὰ τοῖς Ἀττικοῖς.

ἈΦυπνίσαι ἀττικῶς· ἐξυπνίσαι δὲ οὐκ ἔςιν.

Ἀρχὴ τοῦ β'.

Βρόχος λέγεται ἡ κοινὴ λεγομένη θηλέα, ὡς καὶ Εὐριπίδης· βρόχον κρεμαςὸν ἀρτάνης ἀνήψατο. παράγεται δὲ ἐκ μεταΦορᾶς τοῦ ἐν ὕδασι βραχῆναι ἢ τελέως ἀποπνιγῆναι. λέγεται δὲ βρόχος κοινῶς καὶ πᾶς ὁ τισὶν ἐπικρεμάμενος κίνδυνος.

Βεβαιοῦν καὶ βεβαιοῦσθαι διαΦέρει. βεβαιοῦν γὰρ τὸ κυροῦν, βεβαιοῦσθαι δὲ, τὸ πιςοῦσθαι καὶ πληροΦοροῦσθαι ἐπὶ πάθους κατ' Ἀττικοὺς γραΦόμενον.

Βεβοημένος λαμβάνεται ἀντὶ τοῦ περίΦημος καὶ ἐξάκουςος. λέγεται καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ, οἷον βεβοημένος ὁ Ἀριςείδης ἐπὶ δικαιοσύνῃ, καὶ βεβοημένος Φάλαρις ἐπὶ τυραννίδι. ἐκβεβοημένος δὲ παρὰ μὲν τοῖς κοινοῖς πολλάκις λαμβάνεται καὶ αὐτὸ ἐπὶ καλοῦ, παρὰ δὲ τοῖς Ἀττικοῖς ἀεὶ ἐπὶ κακοῦ.

Ἀρχὴ τοῦ γ'.

ΓράΦειν, τὸ συγγράΦειν λόγον ἢ ἄλλην τινὰ ἱςορίαν, ὅθεν καὶ συγγραΦεύς· γράΦειν, τὸ ζωγραΦεῖν, ὅθεν καὶ γραΦεύς· γράΦειν, τὸ ἐπιςέλλειν. γράΦειν, τὸ διὰ δόνακος γράΦειν, καὶ γράΦειν, τὸ νύττειν ποιητικῶς, ὡς παρ' Ὁμήρῳ· γράψαι ταρσὸν δεξιτερίῳ ποδός.

Γοητεύω,

Γοητεύω, τὸ ἐπάγομαι καὶ ἀπατῶ καὶ φενακίζω. γοητεύω καὶ τὸ διὰ μαγγανείας ἐπάγω, ἀφ' οὗ γόνος καὶ γοητεία τὸ πρᾶγμα.

Τὸ γὲ παρὰ τοῖς Ἀττικοῖς εὑρίσκεται λαμβανόμενον ἀντὶ τοῦ γάρ, καὶ ἀντὶ τοῦ σὺν, καὶ ἀντὶ τοῦ δὴ, εὑρίσκεται καὶ ἀντὶ τοῦ κἂν, καὶ ἀργὸν εἰς καλλιέπειαν. ὡς τὸ· εἰ μὴ τόδε ποιήσεις τό γε φίλος μοι ἀγαθὸς εἶναι βούλου. ἀντὶ (fic) ὡς καὶ Συνέσιος, ... λομαι τὰ δέοντα καὶ συντίθεσθαι τοῖς ἀδικουμένοις, οὐκ ἀφαιρήσεται. ἐστι δ' ὅτε καὶ ἀντὶ τοῦ ἀλλά. παραπλησίως τῷδε . . . . . λαμβάνεται καὶ τὸ γοῦν, καὶ ἀντὶ τοῦ γοῦν, καὶ ἀντὶ τοῦ γάρ, καὶ ἀντὶ τοῦ κἂν, ὡς καὶ παρὰ Λιβανίῳ· ἵνα τοῦτο γοῦν μοι παρ' ὑμῶν ὑπάρχῃ, ἀντὶ τοῦ, ἵνα κἂν.

Ἀρχὴ τοῦ δ'.

Διδάσκω καὶ διδάσκομαι διαφέρει. διδάσκω μὲν, τὸ ἐκπονῶ ἄλλον περί τι, ἤτοι παιδεύω καὶ ἐνάγω· διδάσκομαι δὲ καὶ κατὰ τὴν ἰδίαν παθητικὴν σημασίαν προφερόμενον λαμβάνεται, σημαίνει δὲ τοῦτ' αὐτὸ καὶ ἐνέργειαν, ἀντὶ τοῦ εἰς διδασκάλου πέμπω διδαχθησόμενον, ὡς καὶ Ἀριστοφάνης· ἐδιδαξάμην σ' ὦ μέλεε. καὶ παρὰ Λουκιανῷ· ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων, ὅ, τι με καὶ διδάξαιτο. ὁμοίως καὶ παρὰ Πλάτωνι ἐν Μένωνι· ἢ [6]) οὐκ ἀκούεις, ὅτι Θεμιστοκλῆς τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο ἀγαθὸν, ἀντὶ τοῦ, δι' ἑτέρου ἐπαίδευσε.

Δὴ καὶ δήπουθεν καὶ δῆτα. τὸ μὲν δῆτα καὶ δήπουθεν, ἐστι μὲν καὶ ἀργά, λαμβάνεται δὲ παρ' Ἀττικοῖς καὶ ἀντὶ τοῦ, ὡς ἀληθῶς καὶ φανερῶς. τὸ δὲ δὴ λαμβάνεται μὲν καὶ ἀργὸν, κυρίως δὲ καὶ ἀντὶ τοῦ ἰδού. ὡς παρ' Ἀριστοφάνει· καὶ δὴ βαδίζω, τουτὶ δὲ τὸ κρεάδιον. λαμβάνεται καὶ ἀντὶ τοῦ δέ. ὥσπερ καὶ τὸ δὲ, ἀντὶ τοῦ δὴ, ἀντιστρόφως, ὡς παρὰ Συνεσίῳ· ὁ δὲ καρνᾶς ἔτι μέλλει.

Δίκη γραφῆς διαφέρει. δίκη μὲν γὰρ λέγεται, ἣν ἐπάγει τίς κρίσιν κατά τινος, ὑπὲρ ἰδίων οὖσαν πραγμάτων· γραφὴ δὲ λέγεται κοινῶς, πᾶσα κατηγορία· ἰδίως δὲ λέγεται γραφὴ, ἡ ὑπὲρ δημοσίων δικαζομένη κρίσις, καὶ ὅταν κατηγορῇ τίς ψηφίσματος ἢ νόμου γραφὴν ἀποφέρῃ, καὶ γράφεσθαι λέγεται. ὅταν δ' ἐπὶ δημοσίοις ἀδικήμασιν ἢ ἰδίοις ἐγκαλεῖν λέγεται.

Σημείωσαι

6) Pag. 423. E. vbi fic, ἢ οὐκ ἀκήκοας, ὅτι Θεμιστοκλῆς Κλεόφαντον τὸν υἱὸν ἱππέα μὲν ἐδιδάξατο ἀγαθόν;

Σημείωσαι τὸ δοκῶ παρ' Ἡρωδιανῷ καὶ τοῖς ἄλλοις Ἀττικισαῖς, ὁμοίως καὶ παρὰ Πλανούδη Κυρῷ Μαξίμῳ συντεθειμένον, ὅτι ποτὲ μὲν λαμβάνεται, ἀντὶ τοῦ οἶμαι καὶ νομίζω καὶ ὑπολαμβάνω, καὶ συντάσσεται ἀπὸ δοτικῆς εἰς ἀπαρέμφατον ἐφελκόμενον αἰτιατικὴν, οἷον· δοκῶ μοι τὸν δεῖνα εἶναι χρησόν. ποτὲ δὲ ἀντὶ τοῦ φαίνομαι, καὶ συντάσσεται δοτικῇ ἀφ' ἑτέρας εὐθείας ἀπαντώσης εἰς ἀπαρέμφατον παρεμφαινομένης αὖθις τῆς εὐθείας, οἷον· ἐγὼ χρησός σοι δοκῶ εἶναι ποιῶν τὰ δέοντα, καὶ χρησοί μοι δοκοῦσιν ἄνδρες Θηβαῖοι εἶναι, μὴ Φιλίππῳ εἴξαντες. τὸ γὰρ πρόσωπον ἀπ' εὐθείας, ὅτι χρησοὶ ἀρξάμενοι εἰς ἀπαρέμφατον ἐμπεσὼν, πάλιν αὖθις εἰς εὐθείαν ἀπαντᾷ. ἔσι δέ ποτε καὶ τὸ δοκῶ χωρὶς ἀπαρεμφάτου, οἷον, δοκεῖ μοι ἦτος ἀγαθὸς ἀνὴρ, ἐλλειπτικῶς δὲ νοεῖται τὸ εἶναι, κυρίως δὲ ὡς ἐπὶ τὸ πλεῖσον ἀεὶ μετὰ ἀπαρεμφάτου.

Διατριβὴ, ἡ ὁμιλία καὶ ἡ διαγωγή. λέγεται καὶ ἡ ῥασώνη καὶ ἡ τέρψις. διατριβὴ, ἡ βραδυτὴς καὶ ἡ μέλλησις, διατριβὴ καὶ ἡ σχολὴ καὶ τὸ διδασκαλεῖον, ἐν ᾗ διατρίβοντες οἱ νέοι διδάσκονται. διατριβὴ καὶ τὸ παίγνιον, ταυτὸν συντείνουσα τῇ χλεύῃ καὶ τῷ γέλωτι, ὡς καὶ παρὰ Συνεσίῳ· ἵνα μὴ διατριβὴ τοῖς ὁρῶσι γενώμεθα, ἀντὶ τοῦ παίγνιον καὶ γέλως.

Δίαιτα κοινῶς ἡ διατριβὴ καὶ διαγωγὴ, καὶ διαιτῶμαι ῥῆμα, τὸ μετὰ διαίτης ζῶ. δίαιτα ἀττικῶς καὶ ἡ καθ' αἵρεσιν κρίσις, καὶ διαιτῶ ῥῆμα, τὸ καθ' αἵρεσιν κρίνω, ἐξ οὗ καὶ διαιτητής. δίαιτα καὶ αὐτὴ ἡ ψῆφος καὶ ἡ ἀπόφασις ἡ παρὰ τῶν δικασῶν. δίαιτα καὶ ἡ καταγωγὴ καὶ ἡ ἀνασροφή.

Τοῖς Δένδρεις μὲν γράφεται κοινῶς, τοῖς δένδρεσι δὲ ἀττικῶς. ὡς δάκρυ μὲν ἀττικῶς, δάκρυον δὲ κοινῶς.

Δυσχεραίνω συντάσσεται ἀττικῶς μὲν αἰτιατικῇ, ὡς καὶ παρὰ τῷ Θεολόγῳ· δυσχεραίνει τὴν ὑπεροψίαν. κοινῶς δὲ δοτικῇ, ὡς καὶ Λιβάνιος· καὶ βασιλεὺς μὲν ἦν δυσχεραίνων τοῖς τῶν πόλεων σρατηγοῖς. καὶ ὅτε μὲν συντάσσεται αἰτιατικῇ, δηλοῖ τὸ ἀποσρέφομαι καὶ μισῶ καὶ βδελύττομαι, ὅτε δὲ συντάσσεται δοτικῇ, σημαίνει τὸ ἀνιῶμαι καὶ βαρύνομαι καὶ ὀργίζομαι.

Δυσαλθὲς λέγεται ἀπὸ τοῦ δυσκόλως ἀλθαίνεσθαι ἤτοι καταπαύεσθαι. ἀλθαίνω γὰρ, τὸ καταπαύω καὶ πραΰνω, ἤγουν [7]) πληγὴ ἢ καὶ τραῦμα δυσκόλως ἔχει πρὸς τὸ ἰαθῆναι δυσαλθὲς λέγεται.

Τὸ

7) Forte ἡ γοῦν πληγὴ ἢ καὶ τραῦμα, εἰ δυσκόλως, aut alio ſimili modo.

Τὸ Διατελῶ καὶ τὸ τυγχάνω, ἔςι μὲν καὶ μετὰ μετοχῆς, ἔςι δὲ καὶ ἐναπόλυτον. μετὰ μετοχῆς μὲν, ὡς καὶ Δημοσθένης· ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν. ἐναπόλυτον δὲ παρὰ Ξενοφῶντι· σὺ [8]) δὲ ὦ Σώκρατες, ἀνυπόδετός τε καὶ ἀχίτων διατελεῖς, ἀντὶ τοῦ διατρίβεις καὶ διάγεις. τὸ δὲ τυγχάνω, μετὰ μετοχῆς μὲν, ὡς παρὰ Πλάτωνι· ἔτυχον δὲ ὦ Φαίδων τινὲς παραγενόμενοι τῶν γνωρίμων, ἤτοι τῶν οἰκείων. ἐναπόλυτον δὲ, ὡς παρὰ τῷ Θεολόγῳ· καὶ δύσνους μὲν τοῖς ἐκείνου, εὔνους δὲ τοῖς Ῥωμαίων πράγμασι διὰ τοῦτο τυγχάνων.

Ἀρχὴ τοῦ ε.

Ἐντείνειν [9]) λέγεται κυρίως, τὸ ἐμποιεῖν μνήμην ἀδιάλειπτον καὶ διηνεκῆ, καὶ ὅτε δήποτε μόνιμον. εἴρηται δὲ μεταφορικῶς, ἀπὸ τῶν ἐν κηροῖς γινομένων.

Ἐπιχειρῶ τὸ πειρῶμαι, εἰς ἀπαρέμφατον τὴν σύνταξιν ἐπάγον. καὶ Θουκυδίδης· ἐπεχείρουν βιάσασθαι δρόμῳ εἰς τὴν Ποτίδαιαν. ἐπιχειρῶ, καὶ τὸ ἐγχειρῶ καὶ ἐπιβάλλω, συντασσόμενον δοτικῇ, οἷον ἐπιχειρῶ λόγοις ἢ πραγματείᾳ τινὶ ἑτέρᾳ, καὶ ἐπιχειρῶ τυραννίδι.

Ἐκπλήττει λέγεται μὲν καὶ τὸ ἁπλῶς ἐξίςησι καὶ εἰς θαῦμα ἐνάγει, κυρίως δὲ λέγεται ἐρωτικῶς ἐκπλήττειν, τὸ εἰς ἔρωτα ἐμβάλλειν, ὡς τὸ ἐξέπληξεν ἡ Λαῒς τοὺς Κορινθίους. καταπλήττειν δὲ, τὸ εἰς φόβον μετὰ θαύματος ἐμβάλλειν.

Ἐλπίζω πείσεσθαι ἀγαθὰ, καὶ ἐλπίδα ἔχω ἐλεηθήσεσθαι καὶ ἐλπίζω ἔλεος, ἢ ὅμοιόν τι τοιοῦτον, εἰς ἀπαρέμφατον μέλλοντα κατ' ἀττικὴν συνήθειαν, καὶ σύνταξιν ἐντελῆ ἀποδιδόμενα εὑρίσκεται. ὁμοίως καὶ τὸ μέλλει καὶ ἕτερα τοιαῦτα, οἷον μέλλω ἥξειν καὶ ἐλπίζω ἥκειν καὶ πρὸς ἐνεςῶτα, ἀορίςῳ οὐδαμῶς καὶ δευτέρῳ μέλλοντι, εἰ μήτε σπανίως καὶ παρὰ ποιηταῖς. ἀορίςῳ μὲν, ὡς παρὰ Δημοσθένει ἐν ὀλυνθιακοῖς· εἰς τί ποτ' ἐλπὶς τοῦ ταῦτα τελευτῆσαι, καὶ ἐν τῷ πρώτῳ κατὰ Φιλίππου· ἐλπὶς μὴ χεῖρω γενέσθω τὰ πράγματα. ὁμοίως καὶ παρὰ Πλάτωνι· ἐλπὶς πάντα διαφθαρῆναι τὰ πράγματα. ὁμοίως καὶ μέλλω ποιεῖν καὶ μέλλω ποιήσειν. ἀλλὰ καὶ ἀορίςῳ, ὡς παρὰ Πλάτωνι, μέλλω συγγνωσθῆναι. καὶ μέλλοντι δευτέρῳ. τὸ

8) Memor. Socrat. I, 6, 2.

9) Forte ἐντήκειν legendum. Sufficit vnum indicasse exemplum ex Libanio, qui in Epist. 122. pag. 64. edit. Wolf. mai, ita habet: τοῦ — ταῖς ἡμετέραις ψυχαῖς μνήμην ἐντήξαντες.

τὸ μέλλον παρὰ Σοφοκλεῖ, ὡς καὶ ἐν ἑτέροις· ὑφ᾽ ἡγητῶν δ᾽ ἐγὼ κτανεῖν ἔμελλον πατέρα τὸν ἐμόν.

Ἐπικουρεῖν λέγεται κυρίως τὸ διὰ νέων τοῖς πολιορκουμένοις ἐπιβοηθεῖν, καὶ ἐπίκουρος ὁ νέος βοηθὸς, τουτέστι, ὁ σύμμαχος, ἐξ οὗ καὶ ἐπικουρία, ἡ ἐν τοῖς στρατοπέδοις ἐπιβολὴ λεγομένη καὶ συμμαχία διὰ τῶν νέων.

Ἔρχομαι καὶ πέμπω, ὁμοίως καὶ ἥκω, ὧν τὸ μὲν ἔρχομαι καὶ πέμπω πρὸς μέλλοντα ὁριστικὸν ἀττικῶς καὶ ἐπὶ τὸ πλεῖστον ἀποδίδονται, οἷον, ἔρχομαι ποιήσων τόδε. καὶ Ἀριστοφάνης· καὶ ταῦτ᾽ ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν, καὶ πέμπω σε ἐροῦντα τῷ δεῖνι τόδε. ὡς καὶ Ξενοφῶν ἐν δευτέρῳ τῆς ἀναβάσεως· ἐθαύμαζον δὲ, ὅτι Κῦρος οὔτ᾽ ἄλλον πέμπει [10]) σημαινοῦντα, ὅ, τι χρὴ ποιεῖν, οὔτ᾽ αὐτὸς φαίνεται. ἀπαρεμφάτῳ δὲ παρὰ τοῖς Ἀττικοῖς οὐχ εὑρίσκεται ἀποδιδόμενα, εἰ μή που καὶ παρὰ τοῖς ποιηταῖς, ὡς παρὰ Σοφοκλεῖ· μήτηρ με πέμπει πατὴρ [11]) τυμβεῦσαι χοάς. τὸ δὲ Ἥκω ἐπὶ διχῇ φαίνεται λαμβανόμενον, καὶ ἀντὶ παρεληλυθότος, τοῦ ἦλθον, καὶ ἀντὶ ἐνεστῶτος, τοῦ ἔρχομαι. ὅτε μὲν ἀντὶ τοῦ ἔρχομαι τίθεται, πρὸς μετοχὴν μέλλοντος ἀττικῶς ἀποδίδοται, οἷον· ἥκω ἐρῶν σοι τὰ τοῦ πολέμου, ὅπως διεπράχθη. καὶ παρὰ Λιβανίῳ· διὰ τὴν ὠμότητα τοῦ ῥαδίως κινοῦντος τὸ ξίφος ἥκω δίκην παρ᾽ αὐτοῦ ληψόμενος. καὶ παρ᾽ Ἀριστοφάνει· ἀνθ᾽ ὧν ἐγὼ προσευξόμενος τὸν θεὸν ἥκω. καὶ παρ᾽ Εὐριπίδῃ· ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας λιπών. ἔστι δὲ καὶ τὸ ἥκω κοινῶς, ἀντὶ τοῦ ἦλθον, πρὸς μετοχὴν ἀποδιδόμενον. οἷον, ἥκω σοι παῖς καὶ ἥκει μοι γυνή. καὶ παρ᾽ Ἀριστοφάνει· χαρίεντά γ᾽ ἥκεις φέρων δῶρα τῷ θεῷ. καὶ δίχα τῶν μετοχῶν πρὸς δοτικὴν μόνην ἀποδιδόμενον, οἷον, ἥκω σοι παῖς καὶ ἥκει μοι γυνή. καὶ παρ᾽ Ἀριστοφάνει· κακὸν ἥκει τινί. τότε δὲ καὶ ἀντὶ τοῦ ἦλθε καὶ ἀντὶ τοῦ ἔρχομαι λαμβάνεται. . . . .

Ἐτάραξεν, ἀντὶ τοῦ ἠνόχλησεν, ὃ καὶ [12]) ἔθραξεν ἀττικῶς γράφεται παρὰ Δημοσθένει ὁμοίως καὶ Πλάτωνι· ἤδη μέντοι ποτέ με καὶ ἔθραξεν, ἀντὶ τοῦ ἠνώχλησε καὶ ἐτάραξε καὶ ἔνυξεν.

Ἐξανθρωπισθῆναι λέγεται καὶ τὸ ἐξ ἀνθρώπων γενέσθαι, ἤτοι ἀποθανεῖν. λέγεται ἐξανθρωπισθῆναι καὶ τὸ

10) Corrige σημανοῦντα ex Xenoph. p. 272. B. edit. Leuncl.
11) Vid. Sophocl. Electr. p. 100. edit. Henr. Steph.
12) Vide Erotian. in v. θράσσει. p. 27. et Timaeum in θράττει, vbi Fischerus V. Cel. loca ex Platone notauit.

τὸ τὴν ἀνθρωπίνων [13]) μορφὴν μεταλαβεῖν [14]), ἤτοι μεταμειφθῆναι.

Ἐπιχειμάζειν ταὐτὸ καὶ ἐγχειμάζειν. λέγεται δὲ ἐπιχειμάζειν τὸ τὸν χειμῶνα διαβιβάζειν τινὰ ἐν τόπῳ τινὶ καθήμενον. ὁμοίως καὶ τὸ ἐνεαρίζειν [15]), τὸ ἔαρ που διάγειν, καὶ ἐνθερίζειν καὶ ἐνοπωρίζειν,

Ἑστήξειν λέγεται, τὸ βεβαίως μενεῖν καὶ ἱδρυνθήσεσθαι. δασύνεται δὲ, ἀπὸ τοῦ ἑστήκω θέματος κλινόμενον, ὃ καὶ αὐτὸ δασύνεται. οὐδὲ γὰρ ἀπὸ ἵστημι ἑστήξω λέγεται, ἀλλὰ στήσω καὶ ἔστησα ψιλούμενον. ἀπὸ δὲ τοῦ ἑστήκω ἑστήξω, ὁ παρακείμενος ἕστηκα δασύνεται, καθὸ καὶ καθεστηκὼς γράφεται, καὶ καθεστηκὸς φρόνημα, τὸ βέβαιον. ἀπὸ δὲ τοῦ ἵστημι, στήσω, ἕστηκα οὐ λέγεται, ἀλλ' ἔστησα ἀόριστος ψιλούμενος. ἐστιν οὖν κατέστησα μετὰ τοῦ τ ψιλοῦ· καθέστηκα δὲ μετὰ τοῦ θ δασέος.

Ἐξηρτῆσθαι καὶ ἀπηρτῆσθαι διαφέρει· ἐξηρτῆσθαι μὲν γὰρ λέγεται, τὸ ἐξῆφθαι καὶ ἐκκρεμᾶσθαί τινα τινος· ἀπηρτῆσθαι δὲ τὸ κεχωρίσθαι καὶ ἀφεστηκέναι, ὡς καὶ Συνέσιος, τὸ ἀπηρτῆσθαι τοσοῦτον τὴν ναῦν.

Ἐπίνοια λέγεται καὶ ὁ νοῦς καὶ ὁ σκοπὸς καὶ ἡ ἐπί τι ἁπλῶς βουλὴ, ὡς καὶ Ἀριστοφάνης· εἶτ' οὖν ξυνίης τὴν ἐπίνοιαν τοῦ θεοῦ, ἀντὶ τοῦ, τὴν βουλὴν καὶ τὸν νοῦν. ἐπίνοια λέγεται καὶ ἡ μηχανὴ καὶ ἡ ἐπιχείρησις. καὶ λέγεται ἀπὸ τοῦ ἐπινοοῦμαι, ὃ δηλοῖ παρ' Ἀττικοῖς, τὸ μηχανῶμαι, ὡς καὶ Δημοσθένης· οἴχεται μὲν γὰρ ἡ ἐπίνοια τότε τῶν Λακεδαιμονίων.

Ἐλαύνειν λέγεται καὶ ἐπὶ νηῶν. λέγεται ἐλαύνειν καὶ ἐπὶ χαλκοῦ καὶ σιδήρου, ὡς καὶ παρ' Ὁμήρῳ. ἐλαύνειν καὶ τὸ κινεῖν εἰς δρόμον τὸν ἵππον, ὡς καὶ Ὅμηρος· μάστιξε λάαν. καὶ Ἀριστοφάνης· Φίλων ἀδικεῖς, ἔλαυνε τὸν σαυτοῦ δρόμον. ἐλαύνειν ποιητικὸν, τὸ τέμνειν καὶ μηκύνειν καὶ διορύττειν. ὡς καὶ Ὅμηρος· ἀμφὶ δὲ τάφρον ἤλασεν. καὶ Ἡσίοδος· ἰθεῖαν αὔλακ' ἐλαύνεις. ἐλαύνειν καὶ ἐπὶ ἀσελγείας παρὰ κωμικοῖς καὶ παρὰ Θεοκρίτῳ, ἀντὶ τοῦ ὀχεύειν. καὶ ἐλαύνειν τὸν στρόμβον, ἤτοι τὴν κοινῶς λεγομένην [16]) στροῦμπαν.

Ἐπισκήπτω μὲν λέγεται, τὸ ἐντέλλομαι καὶ προστάττω. λέγεται ἐπισκήπτω καὶ τὸ ἐπιτιμῶ καὶ ἐπιπλήττω ἀττικῶς, ἀμφότερα συντασσόμενα δοτικῇ. ἐπισκήπτομαι παθη-

13) Aut ἀνθρώπων aut ἀνθρωπίνην legendum videtur.
14) Forte μεταβαλεῖν. Ἐξανθρωπισθῆναι habet Synesius T. I. p. 10.
15) Gregor. Nazianz. p. 269. confer Pollucis Onomast. T. I. p. 41.
16) Vide Meursii Glossarium Graeco-Barbarum in στροῦμπα.

παθητικῶς μὲν οὐχ εὕρηται μετὰ προθέσεως, δίχα δὲ προθέσεως, τίθεται ἐπὶ ἐνεργείας καὶ λαμβάνεται ἀντὶ τοῦ ψευδεῖς προφάσεις προβάλλομαι. ἐπισκέπτομαι δὲ τὸ προμηθεύομαι καὶ κήδομαί τινος, ὃ δίχα προθέσεως, λαμβάνεται ἀντὶ τοῦ ἀναλογίζομαι καὶ μελετῶ. ἐνσκήπτω ἐπὶ κεραυνοῦ κυρίως καὶ ἐνέσκηψε πάθος κατὰ τοῦ σώματος.

Ἐπιτέχνησις, τὸ ἐπὶ τῇ προγεγενυίᾳ παρά τινος τεχνίτου κατασκευῇ δεύτερόν τι δημιούργημα μετά τινος ποικιλίας γενόμενον· ὡς καὶ Ξενοφῶν· ἐπιτέχνησις δὲ ἐπιτεθεῖσα τῷ ἀγάλματι θαυμασιώτερον ἑαυτοῦ καὶ τῆς ἐπ' αὐτῶν προτέρας τέχνης ἀπέφαινεν.

Ἔστησε τὴν πλάνην, ἀντὶ τοῦ κατέλυσε, καὶ ἔστησε τὸν θόρυβον, καὶ ἔστησε τρόπαιον κατὰ τῶν πολεμίων, ὃ καὶ ἐστήσατο γράφεται καὶ ἀνεστήσατο, ὡς παρ' Ἀριστοφάνει· μόνος γὰρ ὁ θεὸς τρόπαιον ἀνεστήσατο τῶν ταύτης τρόπων. ἔστησε δὲ τρόπαιον παρὰ τῷ Θουκυδίδῃ· καὶ τρόπαιον ἔστησαν οἱ Κερκυραῖοι ἐν ταῖς συβώτοις. καὶ ἔστησε τὸν δῆμον, ἀντὶ τοῦ κατέστησεν, ὡς παρ' Εὐριπίδῃ· νήνεμον δ' ἔστησεν ὄχλον.

Εἰρωνεύομαι καὶ εἰρωνεύω ταυτὸν, οἷς ἐναντίον τὸ ἀλαζονεύομαι, ἀφ' ὧν παράγεται εἰρωνεία καὶ ἀλαζονεία. καὶ ταῦτα ὡς ἀπὸ τῶν ῥημάτων ἀλλήλοις ἐναντία. ἔστι δὲ εἰρωνεία προσποίησις ἀδυναμίας, ὧν τις δύναται ποιεῖν εὐχερῶς, οἷον δύναταί τις ἀνεγεῖραι ναὸν κάλλιστον ἢ δρόμῳ νικῆσαι τοὺς συναγωνιστὰς, εἶτ' ἐξεπίτηδες εἰρωνεύεται, μηδ' ὁπωστιοῦν δύνασθαί τι τοιοῦτον ἐργάζεσθαι, ἢ τὴν ἀλαζονείαν ἐναντίον εἶναι τιθέασιν. ἔστι γὰρ ἀλαζονεία προσποίησις δυνάμεως, ὧν οὐ δύναταί τις ποιεῖν, οἷον, οὐ δύναταί τις ἄγαλμα Δαιδάλου κατασκευάζειν ἢ δημιουργῆσαι, εἶτ' ἀλαζονεύεται καὶ εὐπρεπέστερον δημιουργῆσαι.

Τὸ Ἐπιεικῶς λέγεται μὲν καὶ ἀντὶ τοῦ πάνυ καὶ λίαν, ὃ λαμβάνεται ὁμοίως τῷ σφόδρα. λέγεται ἐπιεικῶς καὶ ἀντὶ τοῦ μετρίως, ὡς παρὰ Πλάτωνι· ἐγὼ μὲν οὖν πρὸς σὲ ἐπιεικῶς ἔχω φιλικῶς.

Ἀρχὴ τοῦ ἤ.

Τὸ Ἦπου λέγεται ἀντὶ τοῦ ὄντως, ὡς παρὰ Λιβανίῳ, ἦπου σοί τε καὶ τοῖς γνωρίμοις γίνονται λόγοι. λέγεται δὲ καὶ ἐν εἰρωνείᾳ, ἀντὶ τοῦ οὐδαμῶς.

Ἥδομαι, τέρπομαι, εὐφραίνομαι διαφέρει. ἥδομαι γὰρ ἐπὶ σώματος· εὐφραίνομαι ἐπὶ ψυχῆς· τέρπομαι δὲ καὶ ἐπὶ

ψυχῆς καὶ ἐπὶ σώματος. καὶ τερπολὴ παρὰ τοῖς ποιηταῖς ἐπὶ τούτου.

Τὸ Ἦν καὶ ἂν καὶ ἵνα καὶ ὄφρα καὶ ὅπως [17]) ποιητικῶς παραπλησίως καὶ ἵνα λαμβανόμενον καὶ ἡνίκ' ἄν. ταῦτα ἐπὶ ὑποτακτικοῖς ἀποδίδοται, ἀλλὰ καὶ εὐκτικοῖς, οἷον, ἵνα τύχω, καὶ ἵνα τύχοιμι, καὶ ἢν δυνηθῶ ποιῆσαι τόδε, ἀλλὰ καὶ ἢν δυνηθείην ποιῆσαι τόδε, ὡς καὶ παρ' Ἰουλιανῷ· ἐγὼ δ' ἑτοίμως παρέξω ταῦτα, ἢν μόνον ἕλκειν δυνηθείητε. καὶ ἡνίκ' ἂν ποιήσω, ἀλλὰ καὶ ἡνίκ' ἂν ποιήσαιμι, ὡς καὶ παρὰ Δημοσθένει· καὶ πηνίκα λαμπρὸς Αἰσχύνης; ἡνίκ' ἂν εἰπεῖν κατὰ τούτων δέοι, ἐν τούτοις λαμπροφωνότατος. τὸ δὲ ἐὰν, ὅτε ἐπὶ μελλοντικῆς (sic) σημασίας λαμβάνεται, εἰς εὐκτικὸν ἀποδίδοται, ὅτε δ' ἐπὶ πράγματος ὁμολογουμένου καὶ φανεροῦ, εἰς ὑποτακτικὸν λέγεται. ἐπειδὰν δὲ καὶ ὅταν παρὰ τοῖς ἀττικοῖς ἀεὶ ὑποτακτικοῖς συντάσσονται· ὁριστικῷ δὲ μέλλοντι ταῦτα πάντα οὐχ εὕρηται παρὰ τοῖς ἀττικοῖς συντασσόμενα, εἰ μήπου σπανίως καὶ παρὰ ποιηταῖς, ὡς καὶ παρ' Ὁμήρῳ· ἀλλ' εἶμι δὲ, ὄφρα με μήτηρ ὄψεται. [18]) εἰς ὁριστικὸν τὸ ἵνα ἀποδιδόμενον, ὡς καὶ παρὰ τῷ Θεολόγῳ, ἵν' ἐρῶ. καὶ παρ' Ὁμήρῳ ἐπὶ μέλλοντι· ὥς κέν τις ἐρέει τότε μοι χάνοι εὐρεῖα χθών, ἀντὶ τοῦ οὕτως ἐρεῖ τίς. ὁμοίως καὶ παρὰ Ξενοφῶντι, ἥτε γὰρ Πυθία νόμῳ πόλεως ἂν ἐρεῖ ποιοῦντας εὐσεβῶς, ἃ ἂν ποιῇ. ταῦτα μὲν οὖν παρὰ ποιηταῖς καὶ σπανίως παρὰ ῥήτορσιν εὑρίσκονται μέλλοντι ὁριστικῷ ἀποδιδόμενα. ὅταν δὲ καὶ ἐπειδὰν ὁμοίως καὶ ἐπὰν οὐχ εὕρηται.

Ἀρχὴ τοῦ θ'.

Θήρα καὶ θήραμα διαφέρει. θήρα μὲν γὰρ λέγεται τὸ κοινῶς λεγόμενον κυνήγιον, θήραμα δὲ τὸ θηραθέν. ἔστι δ' ὅτε λέγεται καὶ θήρα ἀντὶ τοῦ θηράματος, ὡς ἄγρα καὶ τὸ ἀγρευθέν. λέγεται καὶ αὐτὴ ἡ ἐνέργεια, καὶ ὅτι τὸ θηρῶμαι τίθεται παρ' ἀττικοῖς ἐπὶ ἐνεργείας. τίθεται δὲ κοινῶς καὶ ἐπὶ πάθους, ὡς καὶ Ξενοφῶν· θηρώμενον ὑπὸ γυναικῶν.

Θανατάω θανατῶ λέγεται τὸ θανάτου ἐρῶ, ὡς καὶ Συνέσιος· ὁ μὲν ναύκληρος ἐθανάτα [19]) καταχρέως ὤν, ἀντὶ τοῦ ἐπεθύμει ἀποθανεῖν. ὥσπερ λέγεται καὶ τὸ τομῶ, τὸ

17) Hic haud dubie error latet.

18) Ante εἰς, in margine legitur: ἀντὶ τοῦ ἵνα μήτηρ ὄψ. Sed nec sic satis cohaeret hic locus.

19) T. II. p. 3.

τὸ τομῆς δέομαι, ὡς παρὰ Σοφοκλεῖ, ϰ πρὸς [20]) ἰατροῦ σοφοῦ θρεεῖν ἐπῳδὰς, πρὸς τομῶντι πήματι, ἀντὶ τοῦ δεομένῳ καὶ ἐφιεμένῳ τομῆς. Θανατόω δὲ θανατῶ ἕτερον, ἀντὶ τοῦ ἀπόλλυμι καὶ φθείρω, ὡς καὶ παρὰ Λιβανίῳ· οἶδε μὲν ὅτι θανατοῦντος ἔργον ἐποίησε. καὶ Ξενοφῶν· θανατοῖ δὲ σὺν ἄλλοις καὶ τὸν τοῦ Ἀραίου τῦ μεγάλϰ ἀδελφιδοῦν.

Θαυμάζω τοῦ δεῖνος, ἀντὶ τοῦ εἰρωνευόμενος καταγελῶ. συντάττομενον γενικῇ, ὡς καὶ Φάλαρις· ἐθαύμασά σου πολλάκις ὦ Στησίχορε. καὶ θαυμάζω τὸν δεῖνα τοῦ κάλλους, αἰτιατικὴν καὶ γενικὴν ἐπαγόμενον, ἀντὶ τοῦ ἐκπλήττομαι αὐτὸν ἕνεκα τῦ κάλλους. ἔςι δὲ καὶ τὸ θαυμάζω αἰτιατικῇ μόνῃ.

Θυμοῦμαι ἀντὶ τοῦ ὀργίζομαι, εἰ καὶ παθητικῶς γράφεται, ἀλλ' ἐνεργείας σημασίαν παριςᾷ. θυμαίνειν δὲ κατ' Ἀττικοὺς οὐ γράφεται. πλὴν καὶ αὐτὸ εὕρηται παρ' Ἀριςοφάνει· εἶτα [21]) θυμαίνειν ἔφασκεν. ὅμως οὖν ἐν χρήσει οὐκ ἔςι.

Ἀρχὴ τοῦ ἰ.

Ἰσχυρίζεται, τὸ διατείνεται, ὡς καὶ παρ' Ἀριςείδῃ· ἰσχυρίζεται δὲ, οἷς προσέπταισαν πρὸς τὸ δημόσιον· ὃ καὶ διϊσχυρίζεται κυρίως ἐπὶ δικαςηρίου καὶ ἀντιλογίας ταττόμενον. ἔςι γὰρ ἰσχυρίζεται τὸ μετὰ θάῤῥους λόγους τινὰς προτείνει. ἀπισχυρίζεται δὲ, τὸ διὰ χειρῶν βεβαίως τί κατέχει καὶ ἀμετακινήτως ἐπ' ἐκείνῳ ἔςηκεν, ὡς ἐπὶ τοῦ αὐτοῦ, καὶ Συνέσιος· ὅπερ ἐπειδὰν λάβηται πέτρας ἀπισχυρίζεται.

Τὰ διὰ τοῦ ιων ἅπαντα συγκριτικὰ βελτίων, ἡδίων, γλυκίων, κακίων καὶ τἄλλα, παρὰ τοῖς ποιηταῖς τὸ δίχρονον ῑ φύσει μακρὸν ἔχουσι, ἐπὶ δὲ τῶν ἁπλῶν ὑπερθετικῶν ἐπαμφοτερίζον.

Ἀρχὴ τοῦ κ'.

Κρατῶ συντάσσεται μὲν καὶ γενικῇ ὡς ἐπὶ τὸ πλεῖςον, συντάσσεται δὲ καὶ αἰτιατικῇ, ὡς παρὰ Θϰκυδίδῃ· καὶ κρατήσας τὸν πολέμιον, ἦγεν ἐπὶ τὸ τεῖχος. ὅτε μὲν γὰρ ἀντὶ τοῦ ἄρχω καὶ ἐν ἐξουσίᾳ εἰμὶ, μετὰ γενικῆς, ὅτε δὲ

20) In Aiace pag. 35.
21) Vide Nubes v. 610. et v. 1480. Adde Cinnamum p. 23. θυμαίνων ἐπὶ τῇ πληγῇ. et p. 143. θυμαίνων ἐπὶ τοῖς συμπεσοῦσι. et p. 276. θυμήνας ὢν ἐπὶ τούτοις.

λαμβάνεται ἀντὶ τοῦ ταῖς χερσὶ τί φέρω καὶ βεβαίως κατέχω, τοῦτ᾽ αὐτὸ πάντως αἰτιατικῇ.

Κρίνω, τὸ δοκιμάζω καὶ βασανίζω, ἐξ οὗ καὶ κριτικός. κρίνω, τὸ [22]) δοκιμάζω, ἐξ οὗ καὶ κριτής. κρίνω, τὸ νομίζω καὶ ἡγοῦμαι. κρίνω τὸ διαχωρίζω, ἀεὶ μετὰ προθέσεως ἐκφερόμενον, ὡς καὶ Λιβάνιος· σὺ δ᾽ ἀπέκρινες τὰ νόθα τῶν γνησίων.

Κομίζομαι λαμβάνεται καὶ ἐπὶ πάθους καὶ ἐπὶ ἐνεργείας. ὅτε μὲν γὰρ ἀντὶ τοῦ φέρομαι λαμβάνηται, παθητικὴν παριστᾷ σημασίαν, οἷον· κομίζονταί μοι γράμματα παρὰ τοῦ φίλου. ὅταν δὲ ἀντὶ τοῦ ἀπέχω καὶ τὸ ἴδιον καὶ κεχρεωστημένον ἀπολαμβάνω δηλοῖ ἐνέργειαν, οἷον, κομίζομαι τὰ χρήματα.

Κατεσκελητευμένον, ἀντὶ τοῦ κατεξηραμένον, καθ᾽ ὃ καὶ ἀσκαλὶς παρ᾽ Ὁμήρῳ.

Κατεργάζεται ἀντὶ τοῦ κατατείνει καὶ πιέζει καὶ ἐπιτρίβει, οἷον, κατεργάζεται τὸν δεῖνα ὁ δεῖνα πληγαῖς, καὶ κατεργάζεται ἡ νόσος τὸν ἄνθρωπον, ἐφ᾽ οὗ σημαινομένου λέγεται καὶ τὸ τεταρίχευται [23]) καὶ τεταριχευμένος. ἀπεργάζομαι, τὸ εἰς τέλος τί διαπράττομαι, τουτέστιν ἐκπληρῶ καὶ περαίνω, ὡς καὶ Ἀριστείδης· Ὅμηρον δ᾽ ἐπαινοῦσιν, ὡς κάλλιστά τε ἀρξάμενον καὶ ἀπεργασάμενον ποίησιν, ὃ καὶ ἐξεργάζομαι γράφεται, ὡς καὶ παρὰ Σοφοκλεῖ· τί δῆτ᾽ ἂν ἀλγοίης [24]) ἐπεξειργασμένοις.

Κομψὸν λέγεται τὸ χάριεν, λέγεται καὶ τὸ σεμνόν. λαμβάνεται καὶ ἀντὶ τοῦ γλαφυρὸν καὶ ἀντὶ τοῦ κόμπου γέμον καὶ μεγαλαυχίας.

Καταδύεσθαι, ἐγκαλύπτεσθαι, ἀναφοινίττεσθαι, ἐρυθριᾷν, αἰσχύνεσθαι ταὐτόν.

Κολοφὼν, κορωνὶς, κεφάλαιον, τέλος, κορυφὴ ταὐτὸν λέγεται. καὶ κολοφὼν ἀπὸ παροιμίας ἐν ἱστορίᾳ δηλουμένης. δώδεκα γὰρ πόλεις τῆς Ἰωνίας συνήεσαν εἰς τὸ πανιώνιον λεγόμενον περὶ τῶν κοινῶν βουλευσόμενοι, καὶ εἴποτε αἱ ψῆφοι ἴσαι ἐγένοντο, Κολοφώνιοι προστιθέμενοι, νικᾷν τὸ ἕτερον μέρος ἐποίουν. Σμυρναίους γὰρ ἐθέλοντας ἐνίκουν [25]) συνοίκους, ὑπὲρ ὧν καὶ τὴν ψῆφον ἐτίθεντο, ὅθεν καὶ ἐπὶ τῆς κρατίστης καὶ βεβαιοτάτης ψήφου ἡ παροιμία ἐτίθετο, οἷον, τὸν κολοφῶνα ἐπιτίθημι ἢ τὸν κολοφῶνα ἀναγκάζω προσβιβάζων.

Καθή-

22) Forte δικάζω.
23) Forte a τρύχω, τετρύχηται et τετρυχωμένος.
24) In Aiace pag. 23.
25) In marg. γρ. εἶχον.

Καθήκειν λέγεται καὶ τὸ διὰ κλίμακος καταβαίνειν.

Κομίζω κομιῶ, καὶ οὐ κομίσω. τὸ γὰρ κομίσω κοινὸν, καὶ οὐκ ἀττικόν. ὡς παρὰ Λιβανίῳ· γράψαι δὲ βουληθεὶς τοῦ κομιοῦντος ἠπόρουν· ὁμοίως καὶ πάντα τὰ διὰ τοῦ ιζω ῥήματα, τὰ ὑπὲρ δύο συλλαβὰς ἐκφερόμενα περισπωμένους τοὺς μέλλοντας, ποιοῦσιν, οἷον λακωνίζω λακωνιῶ, κιθαρίζω κιθαριῶ. ὡσαύτως καὶ τὰ παθητικῶς μὲν ἐκφερόμενα, ἐνέργειαν δὲ δηλοῦντα, οἷον ἀγωνίζομαι ἀγωνιοῦμαι, ὡς καὶ Ἀριστείδης, ἀφικόμεθα οὐ λόγῳ πρὸς Φίλιππον ἀγωνιούμενοι. πρόσκειται δὲ ὑπὲρ δύο συλλαβὰς διὰ τὸ πρίζω καὶ κτίζω. ταῦτα γὰρ ὁμοίως κατὰ τὸν μέλλοντα βαρυτόνως προφέρονται. ἀπὸ δὲ τοῦ δανείζω δανειῶ οὐκ ἔστι, οὐδὲ δανειοῦμαι, ἀλλὰ δανείσω καὶ δανείσομαι, οὔτε ἀπὸ τοῦ βαδίζω βαδιῶ, ἀλλὰ βαδιοῦμαι ἀττικῶς, ὡς καὶ Ἀριστοφάνης· βαδιοῦμαι δ᾽ ἄρ᾽ ἐπὶ τὴν πνύκα.

Κῆδος λέγεται μὲν καὶ τὸ πένθος καὶ τὸ ἄλγος, ὡς καὶ Ὅμηρος, κήδεά τε στενοχάς τε. λέγεται δὲ κῆδος καὶ ἡ συγγένεια, ἡ κοινῶς λεγομένη συμπεθερία [26]), τουτέστι ἐπιγαμβρία, ὡς παρ᾽ Εὐριπίδῃ· ὅδ᾽ εἰς Ἄργος ἐλθὼν κῆδος Ἀδράστου λαβών. κηδεστὴς λέγεται καὶ ὁ τὸν υἱὸν ἐκδιδοὺς, καὶ πάλιν αὖ ὁ τὴν κόρην ὁμοίως, καὶ κηδεσταὶ πάντες οἱ ἐξ ἑκατέρου μέρους τῷ τε γαμβρῷ καὶ τῇ νύμφῃ συγγενεῖς ὄντες, οἷον, θεία καὶ θεῖος καὶ ἀδελφαὶ καὶ ἀδελφοὶ, καὶ πάντες οἱ τῷ αὐτῷ γένει προσήκοντες.

Καλεῖν λέγεται τὸ ὀνομάζειν, ὡς καὶ Ἀριστοφάνης ἐν Νεφέλαις, ὅπως τὴν καρδόπην, ὥσπερ καλεῖς τὴν Σωκράτην. καλεῖν καὶ τὸ εἰσκαλεῖσθαι, ὡς καὶ Λιβάνιος· καλεῖ [27]) δήποτε κἀκείνην ταύτην παρ᾽ ἑαυτῇ, ἀντὶ τοῦ εἰσκαλεῖται. καλεῖν καὶ τὸ βοᾶν καὶ τὸ φωνεῖν, ὡς παρ᾽ Ἀριστοφάνει· αὐτὸς μὲν οὖν κάλεσον, οὐ γάρ μοι σχολή. καὶ, τί με καλεῖς ὦ Φήμερε. καλεῖν καὶ ἀντὶ τοῦ παρακαλεῖν, καὶ ἀντὶ τοῦ παρακαλεῖσθαι ἀττικῶς, ὡς καὶ Ἀριστείδης· καλῶ δ᾽ ἐπὶ τῷ τολμήματι τούτῳ καὶ Ἑρμῆν λόγιον καὶ Ἀπόλλω μουσηγέτην, ἀντὶ τοῦ ἐπικαλοῦμαι.

Ἀρχὴ τοῦ λ΄.

Λόγος λέγεται ὁ ἁπλοῦς καὶ προφερόμενος. λόγος καὶ

26) Lege συμπενθερία. Vide Meurſ. Gloſſ. Graeco-Barb. in h. v.

27) Pro κἀκείνην, corrige κἀκείνη. Pro ἑαυτῇ in Libanio legitur αὐτὴν; Moſquenſis autem codex dat αὐτὴν illo in loco. Eſt autem hic locus ex Epiſt. DLI. p. 268.

ἡ αἰτία καὶ ἡ ἀπολογία, ὡς τὸ, τίνα λόγον ἂν ἔχοις πρὸς τὰ ἐγκλήματα, ἀντὶ τοῦ ἀπολογίαν. λόγος καὶ ὁ συντεθειμένος λόγος ὑπέρ τινος, εἴτε ἐγκωμιαςικὸς, εἴτε μὴν συγγραφικὸς. λόγος καὶ ἡ ὑποψία, ὡς παρὰ τῷ Δημοσθένει· ὁ μὲν δὴ τῶν πραγμάτων ἐμοῦ λόγος τοῦ μὴ διαφθαρῆναι ὦ Ἀθηναῖ τοιοῦτος, ἀντὶ τοῦ ὑπόνοια καὶ ὑποψία.

Λαμπρῶς λαμβάνεται ἀντὶ τοῦ περιφανῶς. λαμβάνεται καὶ ἀντὶ τοῦ φανερῶς καὶ ἐναργῶς. ἄλλο γὰρ τὸ περιφανῶς καὶ ἄλλο τὸ λαμπρῶς. τίθεται οὖν τὸ λαμπρῶς καὶ ἀντὶ τοῦ φανερῶς, ὡς καὶ παρὰ Θουκυδίδῃ· καὶ λελυμένων λαμπρῶς τῶν ποδῶν. λέγεται λαμπρῶς καὶ ἀντὶ τοῦ ἐπιτηδείως. λέγεται λαμπρῶς καὶ ἀντὶ τοῦ ἐξαισίως, ὡς τὸ, λαμπρὰ μανία, ἀντὶ τοῦ ἐξαισία καὶ μεγάλη, ὡς καὶ παρ' Ἀριςείδῃ, καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρὸς, ἀντὶ τοῦ ἐξαίσιος καὶ μέγας. εἴ τι οὖν περιφανὲς, τοῦτο καὶ λαμπρὸν, οὐ μὴν πᾶν λαμπρὸν καὶ περιφανές.

Λογογράφος καὶ λογοποιὸς τὸ αὐτὸ, λαμβάνεται ἀντὶ τοῦ ἐργάτης λόγου. πλὴν τὸ μὲν λογογράφος διαςήσας τὶς εἴποι ἂν αὐτὸν ἐπὶ κακῷ, ἀντὶ τοῦ τὸν ἐπὶ μισθῷ τοῖς κακούργοις λόγους γεγραφότα, ὡς Αἰσχύνης· καὶ μὴ παραδῶτε τῷ τοιούτῳ Σκύθῃ καὶ λογογράφῳ. τὸ δὲ λογοποιὸς λέγεται καὶ αὐτὸ ἀντὶ τοῦ ἐργάτου καὶ δημιουργοῦ τῶν λόγων. λέγεται καὶ ἀντὶ συκοφάντου καὶ τὰ ψευδῆ συντιθέντος, ὡς καὶ Συνέσιος· ὡς ὁ λογοποιὸς ὁ τιτρώσκων ἐξ ἀφανοῦς.

Λογίζεσθαι λαμβάνεται ἀντὶ τοῦ λογαριάζειν, ἀφ' οὗ καὶ λογισμὸς, καὶ λογιςαὶ, οἱ τῶν λογισμῶν ἐπιτηρηταὶ, καὶ λογιςήρια παρὰ τοῖς Ἀττικοῖς, τὰ οἰκήματα, ἐν οἷς οἱ λογισμοὶ ἐγένοντο, καὶ Ἀριςοφάνης λογίσασθαι ἀντὶ τοῦ λογαριάσαι· τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα. λογίζεσθαι, τὸ ἀναλογίζεσθαι, ὡς καὶ Ευριπίδης, ἐλογισάμην οὖν τοῦ γένους ἀρχιγέτη μᾶλλον μ' ἀμεῖναι (sic). λογίζεσθαι τὸ αἴτιον ποιεῖν τινὰ τινος πράγματος, ἤτοι τὸ προσλογίζεσθαι.

Λαμπρὸν λέγεται καὶ τὸ σφοδρὸν, ὡς καὶ Συνέσιος· ἔπειτα δὲ καὶ νότος συνεπιλαμβάνει λαμπρὸς, ἀντὶ τοῦ σφοδρός.

Λυμαίνομαι γράφεται καὶ ἐπὶ ἐνεργείας καὶ ἐπὶ πάθους, οἷον λυμαίνομαι, ἀντὶ τοῦ λυπῶ καὶ παραφθείρω καὶ βλάπτω, ὡς καὶ παρ' Ἀριςοφάνει· ἑκάςοτε λυμαινόμενον τοῖς μειρακίοις, καὶ παρ' Ἀριςείδῃ· ὥσπερ γὰρ οἱ γεωργοὶ τὰ λυμαινόμενα τῇ χώρᾳ καθ' ἕκαςον ἐνιαυτὸν ἐκκόπτοντες. λέγεται λυμαίνομαι καὶ ἐπὶ πάθους, ἀντὶ τοῦ φθείρομαι,

ρομαι, ὡς καὶ παρὰ τῷ Θεολόγῳ, λελυμασμένην τὴν ἐκκλησίαν· ἀττικῶς δὲ ἀεὶ ἐπὶ ἐνεργείας τίθεται, ἀντὶ τοῦ φθείρει καὶ λυμαίνεται, ὡς καὶ παρ' Ἀριστείδῃ· τότε μὲν δύναμιν συλλέγων τῷ στρατῷ, νυνὶ δ' ἅπασι λελυμασμένος, ἀντὶ τοῦ λελωβημένος καὶ διαφθείρας.

Προλέγειν σημαίνει δύο. λέγεται γὰρ προλέγειν, τὸ μαντεύεσθαι, καὶ προλέγειν τὸ ἐπιφωνεῖσθαι, οἷον· ὁ νόμος προλέγει θάνατον τοῖς τολμῶσιν ἱεροσυλεῖν, ἀντὶ τοῦ ἐπιφωνεῖ.

Ἀρχὴ τοῦ μ΄.

Τὸ Μέμφομαι συντάσσεται ἀττικῶς μὲν δοτικῇ, κοινῶς δὲ αἰτιατικῇ. καὶ δοτικῇ μὲν, ὡς παρ' Ἀριστοφάνει· τῷ δὲ Λοξίᾳ μέμψιν δικαίαν μέμφομαι ταύτην, αἰτιατικῇ δὲ, ὡς καὶ Λιβάνιος, τὸν οὖν οὕτως ἄθλιον μέμφομαι μέν.

Μεταφέρειν λέγεται τὸ μετακινεῖν καὶ μεθιστᾶν καὶ μετάγειν καὶ μετατρέπειν. καὶ Ξενοφῶν ἐν τῷ τῆς Κύρου ἀναβάσεως· καὶ ὁ Χειρίσοφος τὸ πλέον τοῦ στρατεύματος, ὑπὸ τὸν λόφον μεταφέρων, ἐξαπίνης οὐ καιρίαν τιτρώσκεται. μεταφέρειν λέγεται τὸ μετὰ χεῖρας τι ἔχειν, ταὐτὸν συντεῖνον τὸ ἀναιρεῖσθαι, ὅπερ κοινῶς λέγεται τὸ κρατεῖν.

Μέτεισι λαμβάνεται ἀντὶ τοῦ ἀνιχνεύει καὶ ἐρευνᾷ, ὡς τὸ, μέτεισι τὰ θηρία ὁ κυνηγέτης, ἀντὶ τοῦ μεταθεῖ καὶ διώκει. λέγεται καὶ ἀντὶ τοῦ μετὰ ταῦτα ἔρχεται, τῆς μετὰ ἐπὶ τῆς δευτέρας σχέσεως λαμβανομένης.

Τὸ Μόλις λαμβάνεται ἀντὶ τοῦ ὀψὲ καὶ βραδέως καὶ μετὰ χρόνον. λέγεται μόλις καὶ ἀντὶ τοῦ σὺν βίᾳ πολλῇ καὶ μετ' ἀνάγκης, ὡς καὶ Συνέσιος· μόλις δ' οὖν αὐτὴν κατεστήσαμεν. τὸ αὐτὸ γράφεται καὶ μόγις. ἀττικῶς δὲ ἀεὶ διὰ τοῦ λ.

Μεταλαμβάνω λέγεται καὶ τὸ ἐσθίω παρ' Ἀττικοῖς.

Ἀρχὴ τοῦ ν΄.

Νομίζω, τὸ ὑπολαμβάνω καὶ δοξάζω καὶ ἡγοῦμαι, ἐπ' ἀσαφοῦς πράγματος λεγόμενον. νομίζω καὶ τὸ νόμιμον ἄγω, ὡς καὶ Συνέσιος· οὐ γὰρ οἶμαι νομίζεται νυμφευτρίαις βαδίζειν ἐπ' ἐκφορᾷ· νομίζω, καὶ τὸ νομίσματι χρῶμαι, ὡς καὶ Ἀριστοφάνης· Βυζάντιοι σιδήρῳ νομίζουσι.

'Αρχὴ τοῦ ξ'.

Ξενία, ἡ φιλοφροσύνη, καὶ ξενισμὸς, ὡς καὶ Λιβάνιος· ἥσθη, φησι, Φιλόστρατος ἐπὶ τῷ ξενισμῷ σου.

Ξηραλοιφεῖν ἐστι, τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι, ὡς Αἰσχύνης.

Ξυστὶς, γυναικεῖον ἔνδυμα πεποικιλμένον.

'Αρχὴ τοῦ ο.

Ὄλωλα καὶ ἀπόλωλα καὶ ὀλώλεκα καὶ ἀπολώλεκα, ἐπὶ παρακειμένου λαμβανόμενα οὐ ταὐτὸν δηλοῦσιν. ἀπόλωλα μὲν γάρ ἐστιν, ἀντὶ τοῦ ἐφθάρην, ἀμετάβατον, ὡς παρ' Ἀριστοφάνει· ἀπόλωλα δίλαιος ἐκ τοῦ σκίμποδος. ἀπολώλεκα δὲ ἕτερον μεταβατικὸν, συντασσόμενον αἰτιατικῇ, ὡς παρὰ τῷ αὐτῷ· ἀπολωλεκὼς ἅπαντα τὰ τῆς οἰκίας, καὶ παρὰ Λιβανίῳ· ἀπολωλεκὼς ὦ θεοὶ τὸν ἐμὸν παῖδα Ἀλκιμέρθιον. ὄλωλα δὲ καὶ ὀλώλεκα οὐ σύνηθες, εἰ μή που σπάνιον καὶ παρὰ ποιηταῖς, μετὰ δὲ προθέσεων ἀεὶ γράφεται ἀττικῶς.

Οἴχεται καὶ ἀντὶ τοῦ ἐνεστῶτος καὶ ἀντὶ παρακειμένου λαμβάνεται, οἷον οἴχεται καὶ ἔφθαρται, καὶ οἴχεται καὶ φθείρεται.

Ὅπλισις καὶ ὁπλισμὸς τὸ αὐτὸ καὶ βάδισις ὁμοίως καὶ βαδισμὸς, ὧν τὸ μὲν βάδισις καὶ ὅπλισις παρ' Ἀττικοῖς γράφεται, βαδισμὸς δὲ καὶ ὁπλισμὸς κοινῶς. ἀπὸ μὲν οὖν τοῦ βαδίζω παράγεται καὶ ὄνομα τὸ βάδισμα, ὅπερ δηλοῖ αὐτὴν τὴν βάσιν, ὡς καὶ παρὰ Λουκιανῷ· τὸ πρόσωπον δὲ ἐντεταμένον καὶ βάδισμα τοιούτῳ προσώπῳ πρέπον· ἀπὸ δὲ τοῦ ὁπλίζω ἢ ὁπλίζομαι, ὁπλισμὸς οὐ λέγεται, ἀλλὰ ὅπλισις.

Ὀσφραίνομαι, τὸ κοινῶς ὀσμῶμαι, ὡς καὶ Ἀριστοφάνης· κακόδαιμον ὀσφραίνῃ τί, ἐξ οὗ καὶ ὄσφρησις λεγομένη καὶ τοῦ ὀσφραντοῦ καὶ ἐπὶ τοῦ ὀσφραινομένου. ἀττικώτερον δέ ἐστι τὸ ὀσφρᾶσθαι ἢ τὸ ὀσφραίνεσθαι.

Bene quidem noui, Vir Cariſſime, fide potius, conſtantia, officiis et taciturnitate, quam verbis et ſermonibus, amicitiam debere coli. Attamen ſunt quoque tempora, vbi, quid de amico ſentias, et quomodo erga eum affectus ſis, palam prae te ferre, non ſolum ſine reprehenſione liceat, ſed decorum etiam iuſtumque habeatur. Iſtud iam dudum a me expectatum votisque exoptatum tempus, quo meum erga Te *ſtudium et amorem, non* Tibi, *cui nota ſunt, ſed aliis potius, ſignificare et poſſim et debeam, adeſt. Nam in conſuetudine quotidiana et in colloquiis familiaribus amico blandiri, eumque permulcere laudibus, quod ſuſpicionem adulationis mouet, neutri parti eſt honeſtum. Nam et adulari et adulatorum blandimentis gaudere, aeque eſt vtrumque abiecti humilisque ingenii indicium. At inſignem amici virtutem, ſi tempus et locus ita ferat, idoneo cohoneſtare iudicio, palam praeſertim, multis quaſi teſtibus comprobantibus, adeo omni ſuſpicione caret, vt is, qui id, cum facere poſſit, negligat, inuidus, ingratus atque inofficioſus eſſe merito culpetur. Illud tamen nunc inprimis timeo, ne, ſi de*

Te

Te Tuisque virtutibus dicam, rem pluribus dudum cognitam et perſpectam narrare videar. Quanta enim cum laude per plures annos Gymnaſiis huius Vniuerſitatis praefueris, quanta induſtria, fide et prudentia, rem omnem ſcholaſticam adminiſtraris, quantum denique diſciplina et doctrina Tua et communi et ſingulis emolumenti attulerit, non ſolum memetipſum ex idoneis iudicibus virisque grauiſſimis ſaepenumero cum voluptate audire memini, ſed et peruulgata et ad plures peruagata de Tuis erga rem literariam meritis fama in hac vrbe obtinet, quam ingens multitudo doctrina excellentium virorum, qui olim Tua diſciplina ſe vſos eſſe gloriantur, teſtimoniis maxime honorificis comprobant et firmant. Sed haec antiqua ſunt et iam ante meum in hanc vrbem aduentum geſta. Ex quo tempore autem mihi contigit Te Tuamque noſcere doctrinam et ingenium, multoties tacite Tibi et excellens ingenium, multarum diſciplinarum ſcientia locupletatum, et auditorum Tuorum profectus et applauſum gratulatus ſum. Maxime vero ſemper admiratus ſum rationem et modum, quo in tradenda philoſophia vteris. Nec enim, (vt tamen faciunt nonnulli haud ignobiles philoſophi,) antiquis illis philoſophiae doctoribus contentus, aut nimius eorum laudator, ea, quae a recentioribus acute inuenta, ſubtiliter tradita et aliorum iudiciis comprobata ſunt, negligis; nec recentiorum veſtigiis nimis inhaerens, antiquos illos, tanquam obſoletos et a noſtra hac vel nouitate, vel innouandi ſtudio, abhorrentes, contemnis: ſed ingenio celeri et capaci, quo inprimis polles, ab vltimis elegantioris philoſophiae initiis repetens, quicquid ad haec tempora a viris in hoc genere doctrinae excellentibus literis conſignatum eſt, colligis, examinas, diiudicas, emendas, locupletas, illuſtriſ-

ſimisque exemplis ex omni omnium imperiorum, ciuitatum populorumque hiſtoria vel exornas vel demonſtras, et orationis genere ſubtili, eleganti, ornato etiam, ſuſpenſis et attentis auditoribus tradis. Sed haec ingenii et doctrinae bona ſunt, ſplendida illa quidem et magna, ita tamen comparata, vt improbis etiam hominibus natura et ſtudio contingere poſſint. At vero pietas, honeſti acre ſtudium, aequitas et fides erga omnes, conſtantia erga amicos, ſermones tales, qualia ſunt cogitata mentis, eadem vultus ſpecies, quae animi, immutabilis viuendi conſuetudo et tenor, haec qui habet, et cum illis ingenii et doctrinae ornamentis coniungit, quod a Te, *Optime* SCHADEN, *fieri veriſſime ſcio, illum et honeſtiſſimum virum, et reipublicae vtilem ciuem, et amicis carum ſocium, merito omnes iudicant. His ego virtutibus* Tuis *tot et tantis ſum permotus, vt* Te *ſemper maximi facerem,* Tuamque *amicitiam tanto opere expeterem et conſeruare ſtuderem. Eam etiam vt mihi poſtea talem exhibere velis, qualem hactenus ſemper ſum expertus, et humaniſſime abs* Te *peto, et a* Tua *conſtantia me impetraturum eſſe confido.*

VIR PERILLVSTRIS

ATQVE

DOCTISSIME

PERILLVSTRIS NOMINIS TVI

MOSQVAE
D. X. SEPTEMB.
CIƆIƆCCLXXVII.

STVDIOSISSIMVS
CHR. FR. MATTHAEI.

INDEX

EORVM, QVAE IN HOC VOLVMINE CONTINENTVR.

7.) Glossa-

I.

Σεβεριανοῦ [1]) Ἐπισκόπου Γαβάλων λόγος εἰς τὰ θεοφάνια.

Ἀνοιγέσθω σήμερον πᾶν ϛόμα πρὸς θεολογίαν, καὶ ἀνυμνείτω πᾶς λόγος τὸν ἐξ οὐρανῶν ἐπιλάμψαντα θεὸν λόγον, πᾶν ϛόμα λαλείτω, πᾶσα γλῶσσα φθεγγέσθω, πᾶσα ψυχὴ χορευέτω, πᾶσα ἡ γῆ ψαλλέτω. σήμερον λόγοι φωτὸς ἐν ἡμέρᾳ φωτὸς τοὺς υἱοὺς τοῦ φωτὸς καταλάμπουσιν· συμφωνείτω τοῖς ἐπουρανίοις τὰ ἐπίγεια· ὑμνείτω μετὰ τῶν ὑπερκοσμίων δυνάμεων τὰ ἐν τῷ κόσμῳ φαινόμενα. ἀληθείας γὰρ ἐπιφανείσης καὶ βασιλέως ἐπουρανίου πάντας δεῖ συνδραμεῖν εἰς κοινὴν τοῦ δεσπότου τῶν ἁπάντων ὁμολογίαν. Χριϛοῦ παρουσία, ἀληθινοῦ φωτὸς ἐπιδημία· Χριϛοῦ παρουσία, τῆς οἰκουμένης πάσης εὐεργεσία· Χριϛοῦ παρουσία, τοῦ παντὸς κόσμου ἐλευθερία. Χριϛὸς ἀνυμνεῖται, καὶ κόσμος ἁγιάζεται. Χριϛὸς κηρύττεται, καὶ ἡ οἰκουμένη φωτίζεται. Χριϛὸς περιαγγέλλεται, καὶ πᾶσα ψυχὴ τὸν οὐράνιον πόθον ἐνδύεται. ἐγγυᾶταί μου τὸν λόγον ἡ πεῖρα τῶν πραγμάτων. ὅρα γάρ μοι τὴν θεοπρεπῆ ταύτην τῆς ἐκκλησίας κατάϛασιν· ὅρα τοῦ οὐρανίου πόθου τὴν ἄσβεϛον λαμπάδα· ὅρα τοῦ σώματος τὴν φύσιν συνακμάζουσαν τῇ τῶν ἀγγέλων λειτουργίᾳ. ἄνθρωποι ἀπὸ γῆς ὄντες, καὶ γῆν οἰκοῦντες, καὶ ἀποϛρεφόμενοι, τοῖς οὐρανίοις συναμιλλῶνται νόμοις. ἠρνήσαντο τοῦ σώματος τὴν φύσιν, ἐδέξαντο τῶν ἀγγέλων τὴν λειτουργίαν. τοιαύτη γὰρ ἡ ἐκκλησία τοῦ θεοῦ. πολιτεύεται μὲν ἐπὶ τῆς γῆς, τάξιν δὲ ἔχει οὐρανίων πραγμάτων. τί ἔργον τῶν ἐν οὐρανοῖς ἀγγέλων; τὸ τῷ θεῷ λειτουργεῖν. τί ἔργον τῶν ἐπὶ γῆς ὁσίων; τὸ τὸν θεὸν ἀνυμνεῖν. ὧν τοίνυν ὁμότιμος ἡ λειτουργία, ὁμότιμος καὶ ἡ ἀξία. διὰ τοῦτο ὁ μακάριος Δαβὶδ τὴν πνευματικὴν ἀνακρουόμενος λύραν, καὶ τὸν σωτήριον τῆς θεολογίας ἀνακηρύττων ὕμνον ἔλεγεν, ὡς ἀρτίως ὑπεψάλλομεν, ὁ θεὸς τῶν δυνάμεων ἐπίϛρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ

1) Hanc orationem edidi ex Cod. 271. in 4. bibliothecae SS. Synodi. Nomen Seueriani in Codicibus modo per β, modo per υ scribitur.

καὶ σωθησόμεθα. οὐδέπω ἀπήντησεν ὁ βασιλεὺς τῆς δόξης, καὶ οἱ πρόδρομοι τῆς βασιλείας ἐκήρυττον λέγοντες· ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες, εἰπὲ, ὦ προφῆτα, τηλαυγῶς, ὃ λέγεις. σαφήνισον, ὃ κηρύττεις, ὁποῖον ποιμένα λέγεις. πολλοὶ γὰρ ἐποίμαινον. Μωϋσῆς ποιμὴν ἦν, Ἀαρὼν ποιμὴν ἦν. ἐποίμανες γὰρ, φησι, τὸν λαόν σου ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών. ποιμὴν ἦν καὶ ὁ Δαβίδ. ἐξελέξατο γὰρ, φησιν, τὸν δοῦλον αὐτοῦ ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ, τὴν κληρονομίαν αὐτοῦ. τί τοίνυν τῇ προσηγορίᾳ τοῦ ποιμένος κρύπτεις τὴν ἀξίαν τοῦ καταγγελλομένου; διόρισαι σαφῶς, ὃ λέγεις. εὐκρινεῖ καὶ ἀσυγχύτῳ χρῆσαι τῇ φωνῇ τοῦ κηρύγματος. λέγεις ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες. ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ. ὁ δὲ ποιμὴν οὐδέπω κηρύττει τοῦ μηνυομένου τὴν ἀξίαν διὰ τὴν πρὸς ἄλλους ποιμένας ὁμωνυμίαν. τί οὖν; οὐδέπω ἐνόησας τὴν ἀξίαν, φησὶν, σαφηνίζω σοι τὴν ἀλήθειαν. ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι, ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. ὁρᾶς πῶς ἅπασαν ἐγύμνωσεν τοῦ προφητευομένου τὴν ἀξίαν; ὁρᾶς, πῶς τῷ βασιλικῷ καὶ ὑπερκοσμίῳ θρόνῳ τὸν βασιλέα τῆς δόξης ἀπήγγειλεν ἐποχεῖσθαι τὸ νῦν; ὅθεν καὶ ὁ σωτὴρ ἐπιβεβαιῶν τοῦ προφήτου τὴν πρόῤῥησιν βοᾷ διὰ τῆς εὐαγγελικῆς χάριτος. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ἐπειδὴ γὰρ ὡς ἄνθρωποι, φησὶν, λογικοὶ τὸν θεὸν οὐκ ἐπέγνωτε, κἂν ὡς ἄλογα πρόβατα τὸν ποιμένα γνωρίσατε. βουλόμενος δὲ ὁ προφήτης καὶ τὸν καρπὸν ἐπιδεῖξαι τῆς τοῦ ποιμένος ἐπιδημίας, ἐξέγειρον, φησὶν, τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. ἡ γὰρ τοῦ σωτῆρος ἐπιφάνεια πηγὴ πάσης εὐεργεσίας. ἐπεφάνη τοίνυν ὁ λυτρωτὴς πάσης τῆς οἰκουμένης πάντα ἀναλαβὼν εἰς ἑαυτὸν διὰ τὴν αὐτῷ πρέπουσαν ἀγαθότητα. ἐπειδὴ γὰρ εἶδεν πάντα τὰ ἐν ἀνθρώποις διαπεσόντα, καὶ τὴν ἱερωσύνην, ἣν δέδωκεν ἐν τῷ Ἰσραὴλ, καὶ τὴν προφητείαν, καὶ πάντα τὰ ἐξαίρετα, αὐτὸς ἀνακαινίζει δι' ἑαυτοῦ τὰ ἑαυτοῦ δῶρα. καὶ πῶς; ἄκουε. ἐγένετο προφήτης, ἐπειδὴ ἐνοθεύθη ἡ προφητεία παρὰ τῶν ἀναξίων, καθὼς γέγραπται· προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ. γίνεται ἀπόστολος. κατὰ τὸ εἰρημένον, κατανοήσατε τὸν ἀρχιερέα καὶ ἀπόστολον τῆς κλήσεως ἡμῶν Ἰησοῦν. γίνεται καὶ ἱερεὺς, καθὰ φησιν ὁ ὑμνογράφος, σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. γίνεται καὶ διάκονος, ὥς φησιν ὁ γενναῖος Παῦλος· λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ, εἰς τὸ πληρῶσαι τὰς ἐπαγγελίας τῶν

πατέ-

πατέρων. διὰ πάσης οὖν ὁδεύει τάξεως, γίνεται πάλιν καὶ ἀναγνώςης. λαβὼν γὰρ τὸν Ἡσαΐαν ἀνεγίνωσκεν, ὡς δείκνυσι τὸ εὐαγγέλιον, ἵνα καὶ τοῦ προφήτου τὰς φωνὰς βεβαιώσῃ, καὶ τῆς ἐκκλησίας τοὺς βαθμοὺς τιμήσῃ. ἐγένετο καὶ βασιλεύς, ὁ βασιλεὺς τῶν βασιλευόντων, ὥς φησιν ὁ Ναθαναήλ· σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. ἀλλ' ἐρεῖ τίς ἴσως τῶν περιεςώτων, τί οὖν πρὸς ἐμὲ τὸν λαϊκὸν, εἰ προφητείαν καὶ ἀποςολὴν, καὶ ἀρχιερωσύνην ἐνεδύσατο; τί πρὸς ἐμὲ τὸν ἐν λαϊκῇ τάξει κατηλεγμένον; μάλιςα μὲν διὰ πάντας ἀνθρώπους γέγονεν ἄνθρωπος ὁ φιλάνθρωπος. εἰ δὲ βούλει αὐτὸν καὶ λαϊκοῦ τάξιν ὑπερχόμενον ἰδεῖν διὰ σὲ, ἀνάκρινον παρὰ σὲ αὐτῷ καὶ σκόπησον τὰ ῥηθησόμενα. ὁμολογουμένως ὁ βαπτίζων οὐκ ἐν χώρᾳ ἐςὶν τοῦ ἱερέως, ὁ δὲ βαπτιζόμενος, οὐκ ἐν τάξει τοῦ λαϊκοῦ καθέςηκεν; ὅρα οὖν Ἰωάννην ἐν τάξει ἱερέως βαπτίζοντα, καὶ τὸν Χριςὸν ἐν λαϊκῷ τάγματι βαπτιζόμενον. σήμερον γὰρ, ἀδελφοὶ, σήμερον τὴν διὰ τῶν ὑδάτων ὑπῆλθεν οἰκονομίαν. οὐκ ἐκ τῶν ὑδάτων ἁγιαζόμενος, ἀλλὰ τοῖς ὕδασιν τὸν ἁγιασμὸν παρεχόμενος. Ἰωάννης ἐπλήρου τὸ σχῆμα τὸ ἱερατικὸν, προσέρχεται ὁ λυτρωτὴς τῆς οἰκουμένης τῷ βαπτίζοντι, ὁ φωτίζων ἐν πνεύματι, ὁ βασιλεὺς τῷ προδρόμῳ, ὁ θεὸς τῷ προφήτῃ. Ἰωάννης, ἀδελφοὶ, οὐκ ἠγνόησεν τὴν ἀξίαν διὰ τὴν οἰκονομίαν. οὐκ ἔσφαλεν αὐτὸν τὸ σχῆμα τοῦ σώματος. οὐκ ἠπάτησεν αὐτὸν ἡ φαινομένη σάρξ, ἀλλὰ περιέλαμπεν αὐτὸν ἡ κρυπτομένη δύναμις, ἣν καὶ τοῖς ἀγνοοῦσιν ἐκήρυττεν. λύχνος γὰρ ἦν ἅγιος ὁ θαυμάσιος, λύχνος, περὶ οὗ, ἡτοίμασα λύχνον τῷ Χριςῷ μου, διὰ τοῦ προφήτου προείρηται. λύχνος δὲ ὁ Ἰωάννης προσηγόρευται, οὐκ ἐπειδὴ τῷ θεῷ λόγῳ, τῷ φωτὶ τῆς ἀληθείας, χρεία ἦν τῆς ἀπὸ τοῦ λύχνου προσθήκης. ἥλιος γὰρ ἦν δικαιοσύνης, ἀλλ' ἐπειδὴ τὸν ἐν σαρκὶ κρυπτόμενον κύριον ἐγνώριζεν, ὡς ἐν νυκτὶ, τῇ ἰουδαϊκῇ καταςάσει, τὸν λύχνον ἀπαςράπτων τοῦ θείου λόγου. καλεῖται οὖν λύχνος εἰκότως. καὶ ὁρᾶτε τὸ θαυμαςὸν, ἀδελφοί. ὅτε παρῆλθεν ἐπὶ τὴν ἔνσαρκον οἰκονομίαν ὁ πρὸς ἡμᾶς ἐπιδημήσας δεσπότης, ἄνθρωπος διὰ φιλανθρωπίαν γενόμενος, καὶ ἦν ξένον θαῦμα, ὅτι θεὸς ἐν ἀνθρώποις, ἐν δούλοις ὁ δεσπότης, μετὰ τῶν ποιημάτων ὁ ποιητὴς, ὁ ἁγιάζων μετὰ τῶν ἁγιαζομένων, τότε ὁ Ἰωάννης κηρύττει τὴν ἀξίαν, καὶ ἦν ἰδεῖν ξένον θαῦμα. ἦν ἰδεῖν τὸν λύχνον δεχόμενον τὸν ἥλιον τῆς δικαιοσύνης Ἰησοῦν. τὸν γὰρ ἁπάντων λυτρωτὴν κύριον ὁ λυτρώσεως δεόμενος ἄνθρωπος ἐβάπτιζεν, οὐ τόλμῃ προσαχθεὶς, ἀλλὰ προςάγματι δουλωθείς. τότε δὴ τότε

συνέδραμον δύο προφητικαὶ φωναί· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, καὶ φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων. ὁ κήρυξ τῆς ἀληθείας ἐβόα, καὶ ὁ θεὸς τῆς δόξης ἐβρόντα. καὶ ἦν ἐκεῖ ἡ προσκυνητὴ τριὰς τὴν αὐτῆς δόξαν ἀστράπτουσα· πατὴρ ἄνωθεν τὸν υἱὸν κηρύττων, υἱὸς κάτωθεν τὴν οἰκονομίαν πληρῶν, τὸ πνεῦμα τὸ ἅγιον ἐπισφραγίζον τὴν θεοπρεπῆ μυσταγωγίαν, καὶ φωνὴ τοσαύτη γίνεται μαρτυροῦντος ἄνωθεν τοῦ πατρὸς τῷ ἑαυτοῦ μονογενεῖ, ὡς σχισθῆναι ἄνωθεν τοὺς οὐρανούς. ἀναβαίνοντος γάρ, φησι, τοῦ Ἰησοῦ ἀπὸ τοῦ ὕδατος, ἐσχίσθησαν οἱ οὐρανοί. οὐ γὰρ ἤνεγκαν τὴν φωνὴν τῆς τοσαύτης μαρτυρίας, φρίξαντες τὴν ἔνθεον οἰκονομίαν. ἀλλ' ὅρα τὸ θαυμαστόν, ἡ φωνὴ αὕτη τοὺς οὐρανοὺς ἔσχισεν, καὶ αἱρετικοὺς οὐκ ἔσβησεν. οὗτός ἐστιν ὁ υἱός μου, ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε. ἐπειδὴ προέλαβεν νόμος κηρύττων, καὶ προφῆται εὐαγγελιζόμενοι, ἵνα μή τις τῇ προτέρᾳ καταστάσει τῆς Ἰουδαϊκῆς λατρείας ἑπόμενος ἀπώσηται τὸν ζυγὸν τῆς εὐαγγελικῆς χάριτος, ἡ θεία φωνὴ διέκρινεν τὸ οἰκετικὸν ἀπὸ τῶν δεσποτικῶν ἀξιωμάτων. αὐτοῦ ἀκούετε, δηλονότι, τοῦ Χριστοῦ. πλήρωμα γὰρ νόμου Χριστός, πλήρωμα τῶν ἀγαθῶν Χριστός. εἰ γὰρ καὶ προέλαβον ἐν τῷ νόμῳ τῷ Μωσαϊκῷ αἱ εὐλογίαι, ἀλλ' οὐκ ἦσαν ἐντελεῖς, ἐκδεχόμεναι τὸν κύριον ἡμῶν, περὶ οὗ φησὶν ὁ Παῦλος, πλήρωμα νόμου Χριστός. καὶ θέλεις, ἐκ πράγματος ἐναργοῦς παραστήσω σοι τὴν ἀλήθειαν ἔγγυον τῶν εἰρημένων, πρόσεχε ἀκριβῶς. κελεύει Μωϋσῆς ὁ νομοθέτης μερισθῆναι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ, καὶ τὰς μὲν ἓξ φυλὰς ἐπὶ τὸ ὄρος ἀνάγει τὸ Γηβάλ, τὰς δὲ ἑτέρας ἕξ, εἰς τὸ ὄρος τὸ Γαρίζειν, καὶ κελεύει τὰς μὲν εὐλογεῖν, τὰς δὲ καταρᾶσθαι. εὐλογεῖν μέν, τοὺς κατορθοῦντας τὸν νόμον, καταρᾶσθαι δέ, τοὺς παραβαίνοντας. τί οὖν; ἐπὶ μὲν τῶν κατάρων ἁπασῶν ἦν ἐπαγόμενον ἐπισφράγισμα, ἐροῦσι γὰρ οἱ Λευῖται, ἐπικατάρατος ὁ ἐγκαταλιμπάνων τὸν νόμον, καὶ ἐρεῖ πᾶς ὁ λαὸς ἀμήν. ἐπικατάρατος ὁ δουλεύων θεοῖς ἀλλοτρίοις, καὶ ἐρεῖ πᾶς ὁ λαὸς ἀμήν. καὶ ἐφ' ἑκάστῃ ἐντολῇ ἐπίκειται τὸ ἀμὴν τοῖς παραβαίνουσι. ἐπὶ δὲ ταῖς εὐλογίαις ἐροῦσι, φησίν, οἱ Λευῖται εὐλογημένος ὁ φυλάσσων τὸν νόμον κυρίου, εὐλογημένος ἐν ἀγρῷ, εὐλογημένος ἐν πόλει, καὶ οὐδαμοῦ τὸ ἀμὴν ἐν οὐδεμίᾳ τῶν εὐλογιῶν. τί οὖν αἱ κατάραι λαμβάνουσι τὸ ἐπισφράγισμα· αἱ δὲ εὐλογίαι οὐ δέχονται τὴν σφραγίδα. τί βούλεται τὸ σύνθημα; τί ἑρμηνεύει τὸ αἴνιγμα; τῶν ἀποφάσεων πληρωτὴς ἦν ὁ νόμος, τῶν δὲ εὐλογιῶν βεβαιωτὴς Ἰησοῦς. ἐπειδὴ δὲ ἔδει τὰ μὲν τοῦ νόμου ἴδια δοθῆναι τῷ νόμῳ, τὸ δὲ τῆς εὐαγγελικῆς χάριτος φυλαχθῆναι τῇ χάριτι, ἔμειναν αἱ

αἱ εὐλογίαι, τὴν τοῦ ἀμὴν προσθήκην τὸ λοιπὸν ἐπιζητοῦσαι. ἵνα δὲ μὴ δόξῃ τίς βεβιασμένον εἶναι τὸν λόγον, ἀλλὰ μᾶλλον ἐξ αὐτῆς τῆς ἀληθείας μεμαρτυρημένον, ἄκουε Παύλου λέγοντος· ὁ γὰρ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐγένετο ναὶ καὶ οὒ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν. ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ ἐν αὐτῷ τὸ ναὶ καὶ δι᾽ αὐτοῦ τὸ ἀμὴν πρὸς δόξαν τῷ θεῷ. ἐντεῦθέν ἐστιν νοῆσαι πάλιν τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου, ὅτι νεκροὺς ἡμᾶς ὄντας τοῖς παραπτώμασιν καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ἡμῶν συνεζωοποίησεν ἐν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα ἡμῶν, ἐξαλείψας τὸ καθ᾽ ἡμῶν χειρόγραφον, ὃ ἦν ἡμῖν ὑπεναντίον. ποῖον χειρόγραφον; ἔχεις τούτου τὴν ἀπόδειξιν. ὅτε γὰρ ὑπηγόρευσε τὰς κατάρας ὁ νόμος, τὸ ἀμὴν τοῦ λαοῦ, ὑπογραφὴ ἦν τῶν ἀκουόντων. Ἰησοῦς γὰρ ἦν τὸ πλήρωμα τῶν εὐλογιῶν, ὁ ἐπὶ τοῦ Ἰορδάνου φανεὶς, ὁ τὴν προφητείαν Ἡσαΐου εἰς ἑαυτὸν πληρώσας. ἔλεγεν γὰρ Ἡσαΐας, ἀγαλλιάσθω τὰ ἔρημα τοῦ Ἰορδάνου, ὅτι ἡ δόξα Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου. τὸ ῥῆμα ἀσαφές. σαφηνίζεται δὲ διὰ τῆς χάριτος. Λίβανον καλεῖ ἡ γραφὴ τὴν Ἱερουσαλὴμ τὸ τηνικαῦτα· καὶ μὴ νομίσῃς βεβιασμένον εἶναι τὸν λόγον. Ἰεζεκιὴλ μαρτυρεῖ περὶ τοῦ Ναβουχοδονόσωρ τοῦ βασιλέως. ἔλεγε γὰρ ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ὁ ἐκτεταμένος ταῖς πτέρυξιν, καὶ πλήρης ὀνύχων ἦλθεν εἰς τὸν Λίβανον καὶ ἔλαβεν τὰ ἐκλεκτὰ τῆς κέδρου τοῦ Λιβάνου, καὶ ἀπήγαγεν εἰς Βαβυλῶνα. τὰ δὲ ἐκλεκτὰ τίνα ἦν; ἐπειδὴ Σεδεκίαν δήσας ἀπήγαγεν τὸν βασιλέα καὶ τὸν Ἰωακεὶμ καὶ τοὺς ἀρχιερεῖς. ταῦτα ἦν τὰ ἐκλεκτὰ τοῦ Λιβάνου. καὶ ἀπήγαγεν εἰς Βαβυλῶνα. τί οὖν ἐστὶν τὸ, καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ. ἐπειδὴ ἱερωσύνη τῆς Ἱερουσαλὴμ καὶ ἡ προφητεία πᾶσα μετέβη εἰς τὸν Ἰωάννην, καὶ πᾶσα ἡ Ἱεροσόλυμα, καταλειποῦσα τὸ θυσιαστήριον, ἐξήρχετο ἐπὶ τὸ λαβεῖν τὸ βάπτισμα Ἰωάννου, προλαβὼν ὁ προφήτης λέγει περὶ τῆς ἐρήμου τοῦ Ἰορδάνου, ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου. καὶ τίς ἡ τιμή; ἄκουε, ὡς ἐν παραδρομῇ. Ἡλίας ἦν ὁ προφήτης ἡ τιμὴ τοῦ Καρμήλου. Ἡλίας γὰρ ἦν ἐν τῷ Καρμήλῳ. ἐπεὶ οὖν προῆλθεν Ἰωάννης ἐν πνεύματι καὶ δυνάμει Ἡλίου, διὰ τοῦτό φησιν ἐδόθη ἡ τιμὴ τοῦ Καρμήλου τῇ ἐρήμῳ, περὶ οὗ φησὶν ὁ σωτὴρ, καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἡλίας ὁ μέλλων ἔρχεσθαι. ἐπεὶ οὖν ποτὲ μὲν Ἡλίας ᾤκει τὸν κάρμηλον, νῦν δὲ Ἰωάννης τὴν ἔρημον, εἰκότως φησὶν, ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου. νῦν δὲ, ἀδελφοὶ, ἡ δόξα ἐκείνη οὐ τὴν ἔρημον

μόνην ἐπλήρωσεν, ἀλλὰ καὶ τὴν οἰκουμένην ἅπασαν. σήμερον γὰρ πανταχοῦ τῆς γῆς ὕμνοι καὶ θεολογίαι, ἀπὸ ἑσπέρας μέχρι τῆς δεῦρο ἑστήκασιν ἄνθρωποι καὶ ὕμνοις τὸν ὕπνον ἐνίκησαν, καὶ ἡ χάρις ἐδείκνυτο, καὶ ἡ φύσις οὐκ ἠλέγχετο. καὶ μάλα εἰκότως. ὥσπερ γὰρ σίδηρος, πυρὶ προσομιλήσας, ὃ μὲν ἦν, οὐκέτι φαίνεται, ὃ δὲ οὐκ ἦν, ἐπενδύεται, οὐ τὴν φύσιν ἀποτιθέμενος, ἀλλ᾽ ἐπὶ τὴν φύσιν τὴν λαμπρότητα δεξάμενος, οὕτως καὶ ἡμεῖς καταξιωθέντες τοῦ ἁγίου πνεύματος, ἠρνησάμεθα τοῦ σώματος τὴν ἀσθενείαν, καὶ ἐνεδυσάμεθα τοῦ πνεύματος τὴν ἐνέργειαν. ἕστηκεν ἡ ἐκκλησία δι᾽ ὅλου λάμπουσα, καὶ πληροῦται ἐπ᾽ αὐτῇ τὸ, ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα μία. οὐκ εἶχεν ἡ νὺξ σκότος, τῇ θεολογίᾳ φωτιζόμενος. οὐκ εἶχεν ἡ νὺξ σκότος. τῷ γὰρ θείῳ λόγῳ κατελάμπετο κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Δαβὶδ, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου, ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. τοσοῦτον φῶς, τοσοῦτον κάλλος περιαστράπτει τὴν ἐκκλησίαν. γένοιτο δὲ ἡμᾶς, ἀδελφοὶ, θείᾳ χάριτι πάντοτε καταλαμπομένους τῷ παναγίῳ θεῷ δόξαν ἀναπέμπειν, ᾧ πρέπει δόξα καὶ τιμὴ εἰς τοὺς αἰῶνας. ἀμήν.

II.

ΓΡΗΓΟΡΙΟΥ [1]

ΑΡΧΙΕΠΙΣΚΟ'ΠΟΥ ΘΕΣΣΑΛΟΝΙ'ΚΗΣ

ΘΕΟΦΑ'ΝΗΣ

Η

ΠΕΡΙ' ΘΕΟ'ΤΗΤΟΣ

καὶ τοῦ κατ' αὐτὴν ἀμεθέκτου τὲ καὶ μεθεκτοῦ.

ΘΕΟΦΑ'ΝΗΣ.

Ἐπεσκέψω κατὰ σεαυτὸν γενόμενος ἀδελφὲ Θεότιμε τὰ ὡμιλημένα ἔναγχος, ἢ καθάπερ τινὰ περιττὴν ἀδολεσχίαν ἀμελέτητον ἀφεὶς, καὶ λεληθότως ὑπεκπνεῖν κατὰ μικρὸν ἐάσας, τῶν τῆς σῆς ψυχῆς ἐξεφόρησας τελέως λογισμῶν;

ΘΕΟ'ΤΙΜΟΣ. Τί τοῦθ' ὃ λέγεις, ἀγαθὲ Θεόφανες, οὕτως οἴει με ῥαδίως τῆς μνήμης ἐκβαλεῖν ὁμιλίαν ἐκείνην, τὴν καλὴν ἐμοὶ καὶ τῶν καλλίστων πρόξενον, δι' ἧς τοσαύτης πλάνης ἀπηλλάγην; πλάνης, ἣν ἔτεκε μὲν ὁ Ἰταλὸς ἐκεῖνος Βαρλαὰμ, καὶ ὑφ' ἧς διόλωλε φυγαδευθεὶς, εἰσποιησάμενος δὲ οὐκ οἶδ' ὅπως ὁ ἀκίνδυνος κίνδυνος σαφὴς ἑαυτῷ καὶ τοῖς αὐτῷ πειθομένοις γέγονε μάλιστα ἀγύρταις.

ΘΕΟΦ. Οἶδα πολλοῖς περιστοιχιζόμενόν σε πράγμασι, καὶ τὸν περισχόντα θόρυβον ἀρτίως πάντας, δι' ὃν εἴπερ ποτὲ τοὺς φίλους δεῖσθαι σου τῆς ἀγχινοίας οἶμαι. ταῦτ' ἄρα ταύτῃ ἠρόμην.

ΘΕΟ'Τ. Ἀλλ' ἐγὼ καὶ ἀσχολίας ἁπάσης ὑπερτέραν εὖ ἴσθι πεποίημαι τὴν περὶ τηλικούτων σκέψιν, ὥστέ μοι καὶ ἀπὸ τῆς συνεχοῦς μελέτης, οἷόν τινα τύπον ἐνδῦναι εἰς τὴν ψυχὴν, καὶ μηδὲ καθεύδοντα ἀνιέναι, ἐξεγειρομένῳ τὲ εὐθὺς παρεῖναι ὡς ἐνῆν ἕκαστα βασανίζοντι τῷ λογισμῷ.

1) Hunc Dialogum edidi ex Cod. Bibliothecae SS. Synodi in fol. num. 70. Ex eodem iam edidi eiusdem Gregorii aliquot homilias Mosquae. 1776. in 8. Hic Dialogus legitur etiam in Codd. eiusdem bibliothecae 324. fol. 260. seqq. et 344. fol. 1. seqq. ex quibus alio tempore varietates adiiciam.

καί μοι ἐδόκει καθάπερ ἐπὶ σκοπιᾶς τινος ἀμφιφαοῦς τῆς ἀληθειας τῶν περὶ θεοῦ δογμάτων ἑστηκότι βεβαίως, ἐφ' ἣν ἐτυγχανον ὑπὸ τῶν σῶν λογων ἀναβιβασθεὶς, ἐκεῖθεν ὡς ἐξ ἀπόπτου τινος κάτω που διακειμένην φάραγγά τινα βαθεῖαν καὶ διασφαγα ἐπίσκιον διάπλεων ζόφου, δηλονότι ψεύδους ἀμφιλαφοῦς τὰ ἐκείνων ὁρᾶν, οἳ ψεῦδος ἄντικρυς θέμενοι τὴν ἐλπίδα, τοσοῦτον ἐπεντρυφῶσιν αὐτῷ, καὶ τοσαύτην ἐπιδαψιλεύονται τὴν ἀπάτην, ὡς καὶ σφῶν αὐτῶν ἐθελοντὰς καταψεύδεσθαι, καὶ ἐξαπατᾶν ἑαυτούς. οἱ γὰρ νῦν μὲν τὴν θεοποιὸν δωρεὰν τοῦ πνεύματος δι' ἧς μέτοχοι θεοῦ, μᾶλλον δὲ ἓν πνεῦμα μετὰ τοῦ θεοῦ γίνονται οἱ ἅγιοι κτισμα διαῤῥήδην λέγοντες καὶ δι' ἐπιχειρημάτων καὶ γραφικῶν μαρτυριῶν πάντας πείθειν διὰ μεγίστης ποιούμενοι σπουδῆς, νῦν δ' αὖθις ὡς αὐτῆς τῆς οὐσίας τοῦ θεοῦ μέτοχοι ἐσμεν, ἆρ' οὐχὶ πρὸς τῶν κατ' ἀμφότερα ταυτὶ, καὶ καθ' ἑαυτῶν καὶ τῶν οἰκείων λογων ἐφ' ἑκατέρα μέρους ψεύδονται, καὶ ὑφ' ἑαυτῶν ἀπατῶνται; πῶς γὰρ ἂν ὁ τῆς οὐσίας τοῦ θεοῦ μετέχων κατ' αὐτοὺς, οὐκ ἀκτίστου ἀλλὰ κτιστοῦ μετέχων εἴη· πῶς δ' αὖθις ὁ κτιστῇ κατ' αὐτοὺς χάριτι θεοποιούμενος τῆς οὐσίας μετέχει τοῦ θεοῦ;

ΘΕΟΦ. Θεότιμε, οὐκ ἀπεικότως οἱ σφῶν λόγοι τῷ πάθει τῆς αὐτοὺς τικτούσης ἐοίκασι ψυχῆς, ἀφ' οὗ πρὸς τὴν λογολεσχίαν ταύτην ἐπήρθησαν. σφίσι γὰρ ἐμποιεῖν τοῖς φθονοῦσιν ὁ φθόνος πέφυκε. καὶ οἱ τούτων λόγοι τοῖς λέγουσιν ἀντιλέγουσιν. οὐχ ἡμιμοχθήρους τινας τοὺς προϊεμένους, ἀλλὰ παμπονήρους δεικνύντες. ὁ γὰρ τελέως κακὸς, οὐδ' ἑαυτῷ ἐστιν ἀγαθός. ἀλλ' ἐκεῖνοι μὲν ἑαυτοὺς καταστρεφόντων· σὺ δ' εἰ μὴ τῶν ἀποριῶν ἀπολέλυσαι τελέως, πυνθάνου ἀδεῶς, ὅπερ ἂν ᾖ σοι βουλομένῳ. τῷ γὰρ μὴ πρὸς ἔριν, ἀλλὰ πρὸς ἀλήθειαν ζητητικῷ διαφερόντως εὖ ἴσθι χαίρω διαλεγόμενος.

ΘΕΟΤ. Τοῦτό μοι πρὸς θεοῦ πρὸ τῶν ἄλλων φράσον Θεόφανες, τίς ποτ' ἄρα τῆς ἀντιλογίας ταύτης ἦρξε, καθ' ἣν ἡττηθεὶς ὁ Βαρλαὰμ ἀειφυγίαν ὑπ' αἰσχύνης ἑαυτοῦ κατεψηφίσατο; γράμμασι γὰρ ἐντυχεῖν ἔλεγεν ἐκεῖνος ἀφ' ὧν καὶ πολυστίχους ὑπεδείκνυ ῥήσεις ἐκλεξάμενος, δι' ἃς παθεῖν διεβεβαιοῦτο τὴν ψυχὴν, οὐκ αὐτός τι βλάβος ὑποστάς. ἀλλὰ κατὰ τῶν συγγραψαμένων ὑπόνοιαν δεξάμενος οὐκ ἀγαθὴν, μᾶλλον δὲ καὶ λίαν κακήν. δυσσεβῆ γὰρ ἔχειν δόξαν ὑπέλαβεν αὐτοὺς, ἣν δὴ καὶ ἀνασκευάζων, ἀντιῤῥητικοὺς λόγους συνεγράψατο. τοιγαροῦν οὐκ ἂν ἔχοι τις εἰπεῖν, αὐτὸν τῆς ἀντιλογίας καταβαλέσθαι τὴν ἀρχήν.

ΘΕΟΦ.

ΘΕΟΦ. Καλῶς εἶπέ τις τῶν παλαιῶν Καισάρων, ὡς οὐχ ὑπέχειν ἄμφω δεῖ τὰ ὦτα τοῖς κατηγοροῦσιν, ἀλλὰ τῷ ἀπολογησομένῳ θάτερον ἀκήρατον φυλάττειν οὖς. ὥςε μηδαμῆ μηδὲν ςέργειν μηδὲ ἀποφαίνεσθαι πρὶν ἂν διακούσῃ ἀμφοτέρων. ταῦτα γὰρ αὐτὰ κἀπὶ τῆς συνέδου διεξῆλθε μικροῦ καὶ ἐπὶ λέξεως ὁ Βαρλαάμ. καὶ πολὺ τῶν ἐκείνου λόγων μεταξὺ τὸ, τετραυμάτισμαι καὶ πέπονθα τὴν ψυχὴν, ὑφ᾽ ὧν ἔφης συγγραμμάτων δηλαδή. πρὸς ταῦτα δὲ ἡμῖν, ὀλίγων ἐδέησε λόγων. εἴχομεν γὰρ τὴν ἀπὸ τῶν πραγμάτων ἀνεξέλεκτον ἀντίθεσιν. ἐξενεγκόντες γὰρ ὑπεδείξαμεν συγγράμματα ἐκείνου πολλῷ πρότερα τῶν ἡμετέρων, τείνοντα κἀκεῖνα πρὸς τὴν προκειμένην δίκην, πρὸς ἃ καὶ ἀντέκειτο τὰ ἡμέτερα. ταῦτα δὲ ἐκεῖνος τῆς Θεσσαλονίκης ἀπαίρων ἀφανίσας ὥς γε ᾤετο, καὶ τὰ μετ᾽ ἐνιαυτὸν συγγεγραμμένα οἱ πρὸς τὰς ὑφ᾽ ἡμῶν γεγονυίας ἀντιῤῥήσεις προδεικνὺς ἐνθάδε, τοὺς οὐκ εἰδότας, ὡς οὐκ ἦρξε, ῥᾷον ἔπειθεν. ἀλλὰ γὰρ ἀναπεφηνότος οὕτω ῥᾳςα δολίου κατὰ τοῦτο καὶ ψευδοῦς, ἐπεὶ καὶ Θεσσαλονικεῖς ἄνδρες παρῆσαν οἱ συνειδότες ἐξεταζομένης τῆς ἀρχῆς ὅθεν ἀνεφάνη πρὸ ἐνιαυτῶν τεττάρων, ὅτε μηδὲ ᾔδει πως σχεδὸν, ποῦ γῆς ἡμεῖς ἐσμὲν, μηδὲ διὰ γραμμάτων ἐτύγχανεν ὡμιληκὼς ἡμῖν, τότε πρὸ τοσούτου χρόνου πρός τινα τῶν ἐν ἁπλότητι μοναζόντων ὑπακοὴν αὐτὸν ὑποκρινάμενον, ἐκ τούτου τὰς λαβὰς εὑρέσθαι τῶν κατηγορημάτων. ὡς καὶ ὁ συνοδικὸς τόμος καταφανὲς τίθεται τοῖς βουλομένοις. πρὸς δὲ τοῖς εἰρημένοις τίς ὁ τῶν λόγων ἄρχων, οὐχ ὁ κατηγορῶν, οὐχ ὁ ἐγκαλῶν, ὃς ἦν φανερῶς αὐτός; ἡμεῖς δ᾽ οὐ μετὰ μῆνας ἥκομεν ἑπτὰ, πατριαρχικοῖς γράμμασι μετάπεμπτοι; πῶς οὖν οὐ παντὸς μᾶλλον ἐκφανὲς, ὡς οὐχ ἡμεῖς οἱ τὴν ἀρχὴν τῆς πρὸς αὐτὸν ἀντιλογίας καταβαλλόμενοι, οὐ μὴν ἀλλ᾽ εἴτ᾽ ἐκεῖνος ἦρξεν εἴθ᾽ ἡμεῖς, ὁ δυσσεβῶς λέγων μάλιςα μεμπτέος, μᾶλλον δὲ καὶ ἀποτρόπαιος, ἀλλ᾽ οὐχ ἁπλῶς ὁ ἄρξας;

ΘΕΟΤ. Εὖ λέγεις. τοῦτο μὲν δὴ καὶ προυργιαίτερον ἂν εἴη καὶ δυσχερέςερον μαθεῖν· ἐμοὶ δὲ οὐκέτ᾽ ἀμφισβητήσιμον οὐδέν. καὶ γὰρ ἔγνων ἀκριβῶς τὴν τοῦ ἀνδρὸς κακοδοξίαν ὅση. μακρᾶς δὲ οὔσης καὶ πολυσχιδοῦς καὶ ὑπὸ τῶν διαδεξαμένων αὐξηθείσης ἐς τὰ μάλιςα, μεθόδου τινὸς δέομαι, καθ᾽ ὅσον οἷόν τε συντετμημένης, οὐκ εἰς κατάληψιν, ἀλλ᾽ εἰς διασάφησίν τε καὶ ἔλεγχον αὐτῆς. καί σου δέομαι μὴ ἀνεῖναι κατὰ τὸ ἐγχωροῦν, ὁδὸν ὑφηγήσασθαι τοιαύτην, ὅπως δι᾽ αὐτῆς ἡμεῖς ἰόντες, καὶ ὡς ὅπλῳ κυκλούμενοι τῇ ἀληθείᾳ, πιπτούσας ὁρῶμεν τὰς ἐκείνων λεσχηνείας ψαλ-

μικῶς εἰπεῖν, ἔκ τε τȣ̃ κλίτȣς καὶ ἐκ δεξιῶν; ἡμῖν δὲ μὴ ἐγγιζούσας.

ΘΕΟΦ. Οὐ μικρόν ἐςι τὸ αἴτημα ὦ βέλτιςε. ἐγώ τε τοιαῦτα ἄττα οὔτε συνιδεῖν ὀξὺς οὔτε ἐξειπεῖν δεινός. σὴν δ' ὅμως χάριν, ἐπεὶ καὶ τοῖς ὑπὲρ δύναμιν ἡ ἀγάπη πείθει, ἐγχειρεῖν, σχήσειν ἐλπίσας συλλήπτορα τὸν τῆς ἀγάπης θεὸν, γνώμονά τινα δογμάτων ἐξεργάσασθαι πειράσομαι, δι' οὗ τὰ εὖ ἔχοντα, καὶ μὴ, διακριθείη ἄν. ὃς μέντοι καὶ σοὶ συνδόξειν οὕτως ἔχειν, ἵνα προσάγων ἄττα βȣ́λοιο, μὴ μόνον τῶν ἄρτι κινηθέντων, ἀλλὰ μικροῦ καὶ τῶν ἐκ τȣ̃ παντὸς αἰῶνος, μανθάνοις ἐν πᾶσι τἀληθές. οὐ μικρὸν δ' ἂν εἴη καὶ τοῦτο τεκμήριον· μᾶλλον δὲ ἀπόδειξις τῆς τε ὑφ' ἡμῶν κηρυττομένης ἀληθείας καὶ τῆς ἐπιχωριαζούσης πλάνης, τοῖς ἀντιλέγειν ἡμῖν προαιρουμένοις. εἰ γὰρ ἀναδειχθεῖεν τῷ ὁμοίως ἔχοντι κανόνι, τά τε τῶν πάλαι κακοδόξων καὶ τὰ τῶν νῦν ἡμῖν ἀντιλεγόντων μηδαμῶς ἐναρμοζόμενα, ἐναρμόνια δὲ τὰ ἐξ αἰῶνος εὐσεβῆ καὶ τὰ παρ' ἡμῖν λεγόμενα ἀρτίως, ἆρ' οὐκ εὔδηλον, ἐν ποίᾳ μοίρᾳ τετάξεται ἑκάτερα; τὰ γὰρ τῷ αὐτῷ τὰ αὐτὰ, καὶ ἀλλήλοις ἐςὶν ἀναγκαίως τὰ αὐτά. τὰ δ' ὁποτέρῳ τούτων ἕτερα καὶ ἀμφοτέροις ἄρα. οὐ θαυμαςὸν δὲ, εἰ τὰ μέλλοντα ῥηθήσεσθαι διὰ πάντων μοι τέταται τῶν ἄλλων λόγων. οἱονεὶ γὰρ τὴν ἐν τῷ βάθει ῥίζαν καὶ τὸ αἴτιον πάντων τῶν ἐχόντων εὖ τε καὶ μὴ περὶ θεȣ̃ δογμάτων, νῦν ἐκφῆναι προῄρημαι συνεπτυγμένως.

ΘΕΟΤ. Ὡς ἐράσμιον τὸ ἐπάγγελμα. μηκέτ' οὖν μέλλε. πολλῶν γὰρ ἀνέραςος προοιμίων ὁ σφόδρα τί ποθῶν μαθεῖν.

ΘΕΟΦ. Καὶ δὴ λέγω. συνορᾷς ὡς τὰ τῆς θεολογίας ἔςι μὲν ὡς αὐτόπιςά ἐςιν· ἔςι δ' ὡς παρακαλεῖ τὸν τοῦ διδασκομένου νοῦν εἰς ἐπίσκεψιν τε καὶ ἐξέτασιν;

ΘΕΟΤ. Τὰ αὐτὰ καὶ πιςά ἐςι καὶ μή; οὐ μανθάνω ὅ, τι λέγεις.

ΘΕΟΦ. Ἐγὼ, ὃ λέγω ποιήσω φανερόν.

ΘΕΟΤ. Ποίησον. καὶ τότε συνερῶ τῷ δοκοῦντι ἀληθεῖ.

ΘΕΟΦ. Ἔφη Μωϋσῆς, ὑπὸ θεȣ̃ μαθὼν, ἄκȣε Ἰσραὴλ, κύριος ὁ θεός σου κύριος εἷς ἐςιν. οὐκ αὐτόπιςόν ἐςι τοῦτο;

ΘΕΟΤ. Ναί· εἴπερ φὴς αὐτόπιςον, τὸ πιςευόμενον ἄνευ ἀποδείξεως. διὸ καὶ Μωϋσῆς ἀκούειν ἐγκελευσάμενος, εἶτ' ἀποφηνάμενος οὐδὲν ἔπειτα περὶ αὐτοῦ προσέθηκε.

ΘΕΟΦ.

ΘΕΟΦ. Καλῶς γε ποιῶν. ὡς γὰρ αἴσθησις ἐν τοῖς ὑπ᾽ αἴσθησιν λογικῆς οὐ δεῖται δείξεως, οὕτως οὐδὲ πίστις ἐν τοῖς τοιούτοις ἀποδείξεως. διὸ καὶ πρὸς τοὺς ἀπίστους μόνους ὑπὲρ τοῦ τοιούτου μακροὺς ἂν τις ἐξενέγκοι λόγους. ἀλλ᾽ ὁ αὐτὸς Μωϋσῆς καὶ τοῦτο μαθὼν ὑπὸ θεοῦ φησίν· ὡς ἐπὶ Σόδομα καὶ Γόμορρα παρὰ κυρίου πῦρ ἔβρυξεν ὁ κύριος ἐξ οὐρανοῦ, καὶ ὁ τηνικαῦτα τῷ Λὼτ ἐπιφαινόμενος ἐν Σοδόμοις κύριος, ἐν δυσὶν ἐφαίνετο προσώποις. πίστει οὖν καὶ τοῦτο δεχόμεθα ὁμοίως.

ΘΕΟΤ. Πῶς γὰρ οὔ; τί μήν;

ΘΕΟΦ. Πιστεύομεν δὴ καὶ ὅτι εἷς καὶ ὅτι οὐχ εἷς ὁ κύριος. οὐκ αὐτὴ οὖν ἡ πίστις βιάζεται ἡμᾶς καὶ παντάπασι διακελεύεται ζητεῖν καὶ διδόναι λόγον. εἴ τις μάλιστα παρὰ τὰ τοιαῦτ᾽ ἐπηρεάζει, πῶς εἷς καὶ πῶς οὐχ εἷς, ἵνα μὴ ἄτοποί τινες ὦμεν καὶ ἡμῖν αὐτοῖς οὕτως ἀνακόλουθα δοξάζοντες καὶ φθεγγόμενοι.

ΘΕΟΤ. Πάνυ μὲν οὖν· οὐ γὰρ τοὺς περὶ ἀκαταλήπτου λόγους ἀνθυπενέγκαι τίς ἂν τῶν εὖ φρονούντων, τῷ πυνθανομένῳ πῶς τοῦτ᾽ ἐστὶν ὁπότερον. ἐπεὶ μὴ τὴν ἑκατέρου πολυπραγμονεῖ αἰτίαν τῆς ὑπάρξεως, ἀλλὰ τὴν θατέρου πρὸς θάτερον διαφοράν.

ΘΕΟΦ. Ἄγαμαί σε τῆς συνέσεως. ἐν γοῦν ταῖς τοιαύταις διπλόαις τῆς θεολογίας μικροῦ πᾶσαν πονηρὰν αἵρεσιν κινηθεῖσαν ἴδοις ἄν. ἀλλ᾽ ὁ μὲν ἀποδιδοὺς τὸν λόγον οὕτως, ὡς ἀμφότερα πιστά, μηδὲν ἧττον ἢ πρότερον σώζεσθαι τὰ μέρη, εὐσεβής· ὁ δὲ τῷ ἑτέρῳ κατὰ τοῦ ἑτέρου χρώμενος, ὁποιωοῦν καὶ ὁπηδηποτοῦν, δυσσεβὴς ἢ καὶ ἀσεβής, κατὰ λόγον τῆς προκειμένης ἑκάστης ὑποθέσεως.

ΘΕΟΤ. Ποίησον καὶ τοῦθ᾽ ὃ λέγεις πρὸς θεοῦ σαφέστερον.

ΘΕΟΦ. Καὶ δὴ ποιῶ. πᾶς μὲν ὁ τῶν ἁγίων ὅμιλος πατέρων, ἕνα εἰπὸν τὸν θεὸν κατὰ τὴν οὐσίαν, τρεῖς τὸν ἕνα κατὰ τὰς ὑποστάσεις. ἄλλο μὲν οὔσης τῆς ὑποστάσεως, καὶ ἄλλο τῆς οὐσίας, ὡς ἄλλο καὶ ἄλλο σημαινούσης ἑκατέρας. ἀκτίστων δὲ καὶ ἀχωρίστων οὐσῶν ἀλλήλων ἀμφοτέρων καὶ τῶν ὑποστάσεων καὶ τῆς οὐσίας, οὕτω τηρήσαντες ἀσάλευτον, καὶ τὴν εἰς τριάδα καὶ τὴν εἰς μοναρχίαν πίστιν. Σαβέλλιος δὲ τριθεΐαν κατηγορήσας τῶν οὕτω δοξαζόντων, αὐτὸς εἰς ἓν τὰ τρία συναλείψας διὰ τοῦ ἑνιαίου τὸ τριαδικὸν ἀνεῖλε τῆς θεότητος. καὶ ἐκ τῶν ἱερῶν γραφῶν τοὺς περὶ μονάδος λόγους συλλεξάμενος, οἷον ἐγὼ θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα καὶ εἰς τὸν αἰῶνα λέγει κύριος, καὶ τὸ παρ᾽ αὐτοῦ τοῦ κυρίου ἐν εὐαγγελίοις εἰρημένον· ἐγὼ καὶ ὁ πατὴρ

πατὴρ ἕν ἐσμεν, καὶ ὅσα τούτοις παραπλήσια, προυβάλλετο πρὸς μαρτυρίαν εἰς ἀναίρεσιν τοῦ τριαδικοῦ τῶν ὑποστάσεων. οὐχ οὕτω ποιεῖ Σαβέλλιος καὶ ὅσοι κατ' αὐτόν;

ΘΕΟΤ. Τοῦθ' οὕτω πάντες ἴσμεν.

ΘΕΟΦ. Κἀγὼ διὰ τὸ πᾶσιν εἶναι τοῦτο φανερὸν, σαφηνείας ἕνεκα προήνεγκα. σὺ γὰρ τοὺς αὐτοῦ τοιούτους λόγους προσαγαγὼν τῷ γνώμονι τῆς πίστεως, ὃς καὶ ἕνα καὶ τρία λέγει τὸν αὐτὸν θεὸν, ἐξελέγξεις ἄπιστόν τε καὶ κακόδοξον, ὡς τὸ τριαδικὸν ἀναιροῦντα τοῦ ἑνὸς θεοῦ. καὶ τοὺς ὑπ' ἐκείνου παρὰ τοῦτο πολυθέους λεγομένους, ὡς εὐσεβεῖς ἀνακηρύξεις καὶ πιστούς. Ἄρειος δὲ καὶ αὐτὸς πολυθέους λέγων τοὺς τρία λέγοντας τὰ ἄκτιστα, ἓν ἄκτιστον εἶναι διεβεβαιοῦτο τὸν πατέρα, τὰς ἄλλας ὑποστάσεις εἰς κτίσμα κατασπῶν. καὶ ταῖς ἀπὸ τῶν γραφῶν μαρτυρίαις, ὅσαι παριστᾶσι τὴν διαφορὰν τῶν ὑποστάσεων, οἷον ὁ πατήρ μου μείζων μου ἐστὶ, καὶ, ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ταῦτα λαλῶ, καὶ ὅσα τούτοις παραπλήσια, διαστέλλοντα καὶ δεικνύντα τὴν μίαν τῆς θεότητος πηγὴν, ταύταις τοίνυν ἀπὸ τῶν ἱερῶν γραφῶν ἐρανισάμενος ἐχρῆτο κατὰ τῶν εὐσεβῶς τὴν ἁγίαν τριάδα προσκυνούντων. σὺ οὖν καὶ τοὺς Ἀρείου λόγους τῷ αὐτῷ γνώμονι τῆς πίστεως προσαγαγὼν, ὃς ἓν καὶ τρία λέγει τὸν αὐτὸν θεὸν, ἐκεῖνον μᾶλλον δείξεις πολύθεον ὡς ἀληθῶς, κτιστόν τε καὶ ἄκτιστον λέγοντα τὸν αὐτὸν θεὸν, ἃ συμβῆναι πρὸς μίαν φύσιν ἀδύνατον.

ΘΕΟΤ. Ἄριστός γε ὁ κανών. οὐ γὰρ μόνον δείκνυσιν, ἀλλ' οἷον καὶ ἐκτέμνει καὶ ἀποδιοπομπεῖται τὰς στρεβλότητας. ἔστι δ' ἄρα καὶ τοὺς σφαλλομένους περὶ τὴν δεσποτικὴν οἰκονομίαν δι' ὁμοίου κανόνος ἐξελέγχειν;

ΘΕΟΦ. Μάλιστα.

ΘΕΟΤ. Τίς οὖν ὁ κανών;

ΘΕΟΦ. Ὅτι πιστεύομεν εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν, τουτέστιν εἰς ἕνα υἱὸν τοῦ θεοῦ, ἐνανθρωπήσαντα, ταὐτὸν δ' εἰπεῖν διπλοῦν. ἐὰν οὖν λέγῃ Νεστόριος ἄλλον τὸν ἐκ θεοῦ, καὶ ἄλλον τὸν ἐκ τῆς μητρὸς παρθένου, μίαν δὲ Χριστοῦ φύσιν ἀντιστρόφως ὁ Εὐτυχὴς, προσάγαγε σὺ τοὺς αὐτῶν λόγους τῷ γνώμονι τῆς πίστεως, ὃς ἕνα διπλοῦν ὡς θεάνθρωπον λέγει τὸν αὐτὸν Χριστόν. εὐθὺς γὰρ Εὐτυχὴς ἐξελεγχθήσεται, τὸ διπλοῦν ἀρνούμενος. ὁ δὲ Νεστόριος ἀθετῶν τὸ τῆς ὑποστάσεως μοναδικὸν, καὶ τῷ δυϊκῷ τῆς φύσεως ἀνατρέπειν τὸ ἑνιαῖον τοῦ προσώπου ἐγχειρῶν.

ΘΕΟΤ. Ἦ μὴν καὶ τὰς τοῦ Βαρλαὰμ καὶ τῶν αὐτῷ κινδυνευσάντων προστρῖψαι δείξας, τὸν αὐτὸν τρόπον ἀπελέγξαι σχοίης ἄν;

ΘΕΟΦ.

ΘΕΟΦ. Πάνυγε.

ΘΕΟΤ. Σαφήνισον οὖν καὶ τοῦθ' ἡμῖν διὰ τῶν λόγων ἐπιπλέον.

ΘΕΟΦ. Καὶ δὴ σαφηνιῶ. καθάπερ τὸν πρῶτον ἐκεῖνον ἀπὸ τῶν Μωσαϊκῶν φωνῶν κατεσκεύασά σοι γνώμονα, οὕτω τοῦτον ἀπὸ τῶν πατρικῶν ἐξεργασάμενος, εἰν γὰρ οὗτοι πάντες κατὰ τὴν δεσποτικὴν εὐχὴν, ἦν δ' ἂν καὶ ἐξ ἑνὸς αὐτῶν κατασκευάσαι τὸν αὐτόν. πλειόνων μέντοι δεῖ, διὰ τοὺς ἐπιεικῶς ἰσχυρογνώμονας.

ΘΕΟΤ. Λέγε πρὸς θεοῦ Θεόφανες, ἐφ' ἑκάστου τῶν ὑπὸ σοῦ προβαλλομένων καὶ τὸν εἰρηκότα, καὶ οὗ τῶν λόγων εἶπεν, ἵν' εἴη τῷ βουλομένῳ ἐν ταῖς αὐτῶν ἐκείναις βίβλοις ἀναγινώσκειν ἕκαστα.

ΘΕΟΦ. Οὕτω δὴ ποιήσω μάλιστ' ἐπὶ τῶν ἀναγκαιοτάτων πρὸς τὸ προκείμενον ἀρτίως σκέμμα. Βασίλειος οὖν ὁ μέγας, τὸν τεσσαρακοστὸν τέταρτον διασαφῶν Δαβιτικὸν ψαλμὸν, κάλλος φησὶ τοῦ ὄντος δυνατοῦ, ἡ νοητὴ αὐτοῦ καὶ θεωρητὴ θεότης. Γρηγόριος δὲ ὁ θεολόγος, εἰς ἀνάληψιν τοῦ θείου προτρεπόμενος βαπτίσματος, φῶς φησὶν ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς μικροῦ στερροτέρα καὶ ὄψεως. καὶ αὖθις πρὸς Κληδόνιον γράφων, ἥξει μέν, φησιν, ὡς ὁ ἐμὸς λόγος, τοιοῦτος δὲ οἷος ὤφθη τοῖς μαθηταῖς ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος. Μακάριος δὲ ὁ μέγας, ὡς ἐνὸν τὴν πνευματικὴν θεωρίαν ἐκκαλύπτων, καὶ περὶ τοῦ τῆς ἀποκαλύψεως διατρανῶν φωτὸς, ἐπειδὴ, φησι, πᾶς λογισμὸς διὰ φαντασίας αἰσθητῶν τινῶν εἰσέρχεται ἐν τῇ καρδίᾳ, τότε αὐγάζει αὐτὴν τὸ μακάριον φῶς τῆς θεότητος, ὅταν πάντῃ εὐκαιρήσῃ ἀπὸ πάντων καὶ ἀσχημάτιστος ἐκ τούτων γένηται, εἴπερ ἡ λαμπρότης ἐκείνη κατὰ στέρησιν πάντων τῶν νοημάτων παραφαίνεται τῷ καθαρῷ νοΐ. Μητροφάνης δὲ ὁ θεῖος, πρὸς μέλος συντιθεὶς τοὺς λόγους, „ὁ κατ' οὐσίαν ἀθεώρητος λόγος, ἄνθρωπος ὤφθης, τὸν ἄνθρωπον ἀνακαλούμενος πρὸς μετουσίαν τῆς σῆς θεότητος. Γρηγόριος δὲ ὁ Νύσσης τὰ τῶν πνευματομάχων ἀνατρέπων, οὐ τὴν φύσιν, φησὶν, ἀλλὰ τὴν θεατικὴν δύναμιν τοῦ πνεύματος, ἡ τῆς θεότητος προσηγορία παρίστησι. εἴ τι γὰρ λέγεται περὶ αὐτῆς τῶν περὶ αὐτὴν τί ἀποσημαίνει. αὐτὴ δὲ ἡ θεία φύσις ἄφραστός τε καὶ ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τὴν διὰ τῆς φωνῆς σημασίαν. καὶ πάλιν ὁ αὐτὸς πρὸς Ἀβλάβιον γράφων, θεός, φησιν, ἐνεργοῦντα δηλοῖ. θεότης δὲ ἐνέργειαν. οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν. ὁ δὲ μέγας Ἀθανάσιος κατὰ Μακεδονίου

νίου γράφων, τὸ θεὸς εἶναι φησὶ, δεύτερόν ἐςὶ τῆς φύσεως. καὶ ἡμεῖς γὰρ θεοὶ μὲν γινόμεθα. τῆς δὲ αὐτῆς φύσεως γενέσθαι οὐ δυνάμεθα. ὁ δὲ μέγας αὖθις Βασίλειος πρὸς τὸν ἰατρὸν Εὐςάθιον γράφων, φησὶν, οὐκ οἶδ' ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες. ἐξουσίας γάρ τινος εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι καθὸ ἐςὶ, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. δι' αὐτῶν γὰρ ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν. τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν, οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάςε τούτων τῶν ὀνομάτων καὶ αὐτῆς τῆς φύσεως περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδώσει λόγον. ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. οὐκοῦν ἄλλα μέν ἐςιν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη. ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. τὸ μὲν οὖν ἐν ταῖς ἐνεργείαις μηδεμίαν εἶναι διαφορὰν τῶν προσώπων ἐκ τῆς τῶν ὀνομάτων κοινωνίας εὑρίσκομεν. τῆς δὲ κατὰ τὴν φύσιν παραλλαγῆς, οὐδεμίαν καταλαμβάνομεν ἐναργῆ τὴν ἀπόδειξιν, καθὼς εἴρηται τῆς τῶν ἐνεργειῶν ταυτότητος, τὸ κοινὸν τῆς φύσεως ὑποσημαινούσης. ὁ δὲ μέγας Διονύσιος τὴν θείαν καὶ ἀρχισυνάγωγον εἰρήνην ἐξυμνῶν, αὐτοθεότητά, φησι, φαμὲν, ἀρχικῶς μὲν καὶ θεϊκῶς καὶ αἰτιατικῶς τὴν μίαν ὑπερούσιον καὶ ὑπεράρχιον ἀρχὴν καὶ αἰτίαν. μεθεκτικῶς δὲ τὴν ἐκδιδομένην ἐκ θεοῦ τοῦ ἀμεθέκτου προνοητικὴν δύναμιν, τὴν αὐτοθέωσιν. ἧς τὰ ὄντα οἰκείως ἑαυτοῖς μετέχοντα, ἔνθεά ἐςι τε καὶ λέγεται· τὴν δὲ τοῦ ὄντος θεωνυμίαν ἀναπτύσσων, οὐ γὰρ ἐκφράσαί, φησι, τὴν αὐτοϋπερούσιον ἀγαθότητα τῆς αὐτοϋπερουσίου θεότητος ὁ λόγος ἐπαγγέλλεται, τὴν ὑπὲρ πᾶσαν οὖσαν ἀγαθότητα καὶ θεότητα, καὶ ἐν ἀποκρύφοις ὡς τὰ λόγια φησὶν ὑπεριδρυμένην, ἀλλὰ τὴν ἐκπεφασμένην ἀγαθοποιὸν πρόνοιαν ὑπεροχικῶς ἀγαθότητα, καὶ πάντων ἀγαθῶν αἰτίαν ὑμνεῖ. γράφων δὲ πρὸς Γάϊον, εἰ θεότητά φησι νοήσαις τὸ χρῆμα τοῦ θεοποιοῦ δώρου, τῆς οὕτω λεγομένης θεότητος, ὡς θεαρχίας καὶ ἀγαθαρχίας ὁ πάσης ἀρχῆς ὑπεράρχιος ἐςιν ἐπέκεινα. ἀλλ' αὖθις ὁ αὐτὸς ἔτι περὶ τοῦ ὄντος θεολογῶν, ἐπειδήπερ ἔφη θεότητα ὑπὲρ τὴν πάντων ἀγαθῶν αἰτίαν θεότητα ἵνα μὴ καὶ αὐτὸς δόξῃ τοῖς ἀκούουσι τὴν αἰτίαν ταύτην νομίζειν αὐθυπόςατον ὑπάρχειν, ἀλλὰ μὴ προνοητικήν δύναμίν τε καὶ πρόοδον τῆς ἐν ἀποκρύφοις ὑπερουσιότητος καὶ οὕτω τοιαύ-

τας

τας οὐσίας εἶναι φάσκειν πλείες τῆς μιᾶς, οὐ πολλά φησι λέγω τὰ αἴτια, οὐδὲ πολλὰς θεότητας, ὑπερεχέσας καὶ ὑφειμένας, ἀλλ᾽ ἑνὸς θεῦ τὰς ὅλας ἀγαθὰς προόδους. καὶ ὁ μέγας οὖν Βασίλειος τῷ ἰατρῷ ἐπιςέλλων Εὐςαθίῳ, μὴ λίαν ἀποδέχεσθαί φησι τοὺς ἐπὶ τὴν τῦ θεῦ φύσιν ἐκλαμβάνοντας τὸ τῆς θεότητος ὄνομα. οὐ μὴν ἀλλ᾽ εἴτε τὴν φύσιν τῦ θεῦ φαίη τις θεότητα, μία τῶν τριῶν ἡ φύσις, εἴτε τὴν ἐνέργειαν ὀνομάσει τις θεότητα, μία τῶν τριῶν προσώπων ἡ ἐνέργεια. καὶ Γρηγόριος πάλιν ὁ μέγας θεολόγος, ἑνὶ φωτί φησι περιαςραφθῆτε κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτουν θεότητος. καὶ ἐν τῷ περὶ υἱοῦ δευτέρῳ λόγῳ, ὁ ὢν καὶ ὁ θεὸς μᾶλλόν πως τῆς οὐσίας ὀνόματα καὶ τούτων μᾶλλον ὁ ὤν. ἡ γὰρ τοῦ θεῦ κἂν ἀπὸ τοῦ θέειν ἢ αἴθειν ἠτυμολόγηται, ἀλλ᾽ οὖν τῶν πρός τι λεγομένων ἐςί. καὶ οὐκ ἄφετος. καὶ ὁ μέγας Μάξιμος, εἷς θεὸς, ὅτι μία θεότης. ἁπλῆ καὶ ἀμερὴς καὶ ἀδιαίρετος ἀόρατος καὶ ἀπερινόητος. καὶ Σωφρόνιος ὁ τὴν Ἱεροσολύμων πατριαρχικὴν ὡραΐσας περιωπὴν, ὥσπερ ἕνα θεὸν φρονεῖν ἐδιδάχθημεν, οὕτω καὶ μίαν θεότητα ὁμολογεῖν παρειλήφαμεν. ἆρ᾽ οὖν οὐ τοῦ αὐτῦ θεῦ ποτὲ μὲν μίαν ποτὲ δ᾽ οὐ μίαν εἶναι παρὰ τῶν πατέρων διδασκόμεθα θεότητα; μὴ μέντοι κατὰ τὸ ἄκτιςον εἶναι τὴν διαφοράν; τίς γὰρ τῶν ἠρημένων εὐσεβεῖν κτιςὴν ἐρεῖ τὴν ἀγαθοποιὸν καὶ πάντων ἀγαθῶν αἰτίαν πρόνοιαν, προφάσει τῦ περὶ ταύτης εἶναι φάναι τὸν λόγον, τὸν ἐξ ἀρείου πάγου θεοφάντορα Διονύσιον, ἀλλ᾽ οὐχὶ περὶ τῆς ἀνεκφράςου πάντη καὶ θείας ὑπερυσιότητος, ἢ τὴν θείαν ἐξυσίαν ὅτι ταύτης ἔνδειξιν ἡ προσηγορία φέρει τῆς θεότητος κατὰ τὸν μέγαν Βασίλειον, ἀλλ᾽ ὐ τῆς τοῦ θεῦ οὐσίας; ἢ τὴν θεατικὴν δύναμιν τῦ πνεύματος, ἐπεὶ ταύτης ὑπερέχει κατὰ τὸ ἄφραςόν τε καὶ ὑπερώνυμον ἡ τοῦ πνεύματος φύσις, ὡς ὁ Νύσσης θεῖος πρόεδρος ἐθεολόγησε Γρηγόριος. ἆρ᾽ οὖν οὐ μίαν καὶ τρόπον ἕτερον οὐ μίαν, τοῦ ἑνὸς διδασκόμεθα θεότητα;

ΘΕΟΤ. Σαφέςατα.

ΘΕΟΦ. Τί οὖν, οὐ τοῦ ἐπικρινοῦντος ἀναγκαιότατα δεόμεθα πῶς μία καὶ οὐ μία, καὶ πῶς ἑνὸς ὄντος τῦ θείυ πνεύματος, ἑπτὰ πνεύματα προεῖδεν Ἡσαΐας ἐπαναπαυσόμενα τῷ δεσποτικῷ προσλήμματι, ἃ καὶ Ζαχαρίας ἐδιδάχθη παρ᾽ ἀγγέλυ, ἑπτὰ τοῦ κυρίυ ὀφθαλμὺς καλεῖν;

ΘΕΟΤ. Διαφερόντως, ἵνα μὴ αὐτοὶ ἑαυτοῖς ὑπεναντίοι ὦμεν καὶ πρὸ ἡμῶν οἰόμεθα τοὺς πατέρας τοῦτ᾽ αὐτὸ πάσχειν ἐπὶ τῦ καιριωτάτου τῆς κατ᾽ εὐσέβειαν ὁμολογίας. λέγε τοίνυν πῶς μία καὶ οὐ μία τῦ αὐτῦ θεῦ θεότης.

ΘΕΟΦ.

ΘΕΟΦ. Φημὶ δὴ καὶ τοῦτο, καθάπερ ὑπ' αὐτῶν τῶν πατρικῶν ἐκφαίνεται λογίων. ὅταν γὰρ ὡς ἐπωνυμίαν τῆς ὑπερωνύμου οὐσίας τὸ τῆς θεότητος ὄνομα προφέρωμεν, μία ἐστὶ τοῦ θεοῦ θεότης, ἁπλῆ, ἀμερὴς, ἀδιαίρετος, ἀπερινόητος. καὶ τοῦτ' ἔδειξεν ὁ εἰπὼν, ἐνὶ φωτὶ περιαστράφθητε κατὰ τὸν τῆς οὐσίας λόγον, εἴτουν θεότητος. ἀλλὰ καὶ τῶν τριῶν προσώπων μία θεότης, χωρὶς τῶν προσωπικῶν ἰδιωμάτων, ἀπαραλλάκτως κατὰ τἄλλα πάντ' ἐχόντων. ἣν γὰρ ἂν ὀνομάσῃς θεότητα, εἴτε τὴν δύναμιν καὶ τὴν ἐνέργειαν, εἴτε τὴν οὐσίαν, μία τῶν τριῶν ἐστὶν, ὡς καὶ τοῦτο μικρὸν ἀνωτέρω τὸν μέγαν Βασίλειον ἐπὶ λέξεως προηνέγκαμεν εἰπόντα, κἂν τὸ ἄθροισμα πάντων τῶν τοιούτων συμπεριλαβὼν θεότητα προσείποι τις, μία καὶ οὕτω τῶν τριῶν προσώπων ἡ θεότης, ἡ οὐσία δηλαδή. καὶ τὰ περὶ τὴν οὐσίαν θεωρούμενα καὶ θεολογούμενα, ὡς καὶ ὁ μέγας Ἀθανάσιος εἰς τὴν ἐπέτειον τοῦ θείου εὐαγγελισμοῦ πανήγυριν κηρυκτικὸν λόγον συντιθεὶς φησὶν, ὅταν δὲ θείαν τινὰ δύναμιν ἢ ἐνέργειαν τοῦ θεοῦ λέγωμεν θεότητα, πολλαὶ εἰσὶν ἐνέργειαι θεῖαι, ταύτην τὴν ἐπωνυμίαν κεκτημέναι. καὶ γὰρ ἡ θεαρτικὴ καὶ ἡ καθαρτικὴ καὶ ἡ θεουργικὴ καὶ ἡ ἐποπτικὴ καὶ τὸ πανταχοῦ εἶναι καὶ τὸ μηδαμοῦ, ταυτὸν δ' εἰπεῖν τὸ ἀεικίνητον καὶ τὸ ἐν τῷ Θαβωρίῳ περιλάμψαν τοὺς τῶν μαθητῶν ἐκκρίτους φῶς, ὡς καὶ ταῦτα παρὰ τῶν ἁγίων μικρὸν ἀνωτέρω δεδιδάγμεθα τρανῶς, ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ ὁ μέγας Βασίλειος ἀλλαχοῦ τε πολλαχοῦ παρίστησι τῶν λόγων. ἔστι δ' ἐφ' ὧν καὶ τοῦτο λέγει σαφῶς, ὡς τὸ πνεῦμα τὸ ἅγιον, ἁπλοῦν τῇ οὐσίᾳ, ποικίλον ταῖς δυνάμεσι. καὶ πάλιν· αἱ μὲν ἐνέργειαι τοῦ θεοῦ ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. τίνας λέγων ἐνεργείας; ὧν καὶ αὐτὸς ἐμνημόνευσεν ἐκεῖ, τὴν πρόνοιαν, τὴν δύναμιν, τὴν ἀγαθότητα, τὸ προγνωστικὸν, τὸ θεουργικὸν, τὸ δημιουργικὸν, τὸ ἀνταποδοτικὸν καὶ τὰ τοιαῦτα, πρὸς ἃ βλέπων καὶ ὁ θεολόγος Γρηγόριος τῶν ἑπτὰ παρ' Ἡσαΐᾳ μνησθεὶς πνευμάτων, τὰς γὰρ ἐνεργείας φησὶ τοῦ πνεύματος, πνεύματα φίλον τῷ Ἡσαΐᾳ καλεῖν. καὶ ὁ Δαμασκηνὸς θεοφόρος, λέγονται φησι πνεύματα καὶ αἱ δυνάμεις τοῦ πνεύματος, οὐ μὴν ἀλλὰ πρὸς ὃ νῦν ἡμῖν ὁ λόγος μάλιστα, καὶ τῆς οὐσίας εἰ καὶ μὴ κυριωνύμως καὶ τῆς ἐνεργείας. κυρίως μέντοι ταύτης ὀνομαζομένης τοῦ θεοῦ θεότητος, νοητὴ ἐστι τοῦ αὐτοῦ καὶ ἀπερινόητος θεότης. μία οὖσα ὡς ἑνὸς θεοῦ. ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτὸν κατὰ τὸν θεολόγον Γρηγόριον, τῷ δὲ ἀλήπτῳ θαυμάζηται. σοφίας γὰρ φησι καὶ δυνάμεως καὶ τέχνης, ἀλλ' οὐχὶ τῆς οὐσίας αὐτῆς ἐνδεικτικὰ ἐστι τὰ ποιήματα. καὶ οὐδὲ αὐτὴν

πᾶσαν

πᾶσαν τοῦ δημιουργοῦ τὴν δύναμιν ἀναγκαίως παρίστησι κατὰ τὸν μέγαν Βασίλειον. ἆρ' ἔχεις καλῶς ἐσκευασμένον καὶ τὸν τῆς εὐσεβείας τοῦτον γνώμονα;

ΘΕΟΤ. Κάλλιστα καὶ τελεώτατα, ὥς γε μοι φαίνεται. λείπεται δέ σοι διὰ τοῦ τοιοῦτου τὸν Βαρλαὰμ ἐκεῖνον ἀπελέγξαι καὶ τὸν τῆς ἐκείνου κακοδοξίας μαθητὴν καὶ διάδοχον Ἀκίνδυνον.

ΘΕΟΦ. Βαρλαὰμ οὗτος καὶ ὁ μετ' ἐκεῖνον ἄλλος ἐκεῖνος ἡμῖν καὶ τῇ εὐσεβείᾳ γενέσθαι κινδυνεύσας οὐ τὸν Ἄρειον μόνον, ἀλλὰ καὶ τὸν ἐκ Λιβύης Σαβέλλιον ζηλώσαντες τοὺς ἁγίους καὶ πάντας τοὺς ὀρθοδόξως ἔστι μὲν ὡς μίαν, καὶ τοῦτο πολλαχῶς, ἔστι δ' ὡς οὐ μίαν καὶ μόνην τὴν οὐσίαν, ἀλλὰ καὶ τὴν ἄκτιστον δύναμίν τε καὶ ἐνέργειαν ὡς ἀνωτέρω δέδεικται, τοῦ αὐτοῦ θεοῦ λέγοντας θεότητα, πολυθέους ἔφησαν. αὐτοὶ ποτὲ μὲν μίαν λέγοντες ἄκτιστον τοῦ θεοῦ θεότητα τὴν ὑπερουσιότητα ἐκείνην, κτιστὰς δὲ τὰς ὑπολοίπους. ὅσαι δηλονότι τῶν θείων ἐνεργειῶν θεωνυμοῦνται παρὰ τῶν ἁγίων. ὡς Ἄρειος μίαν ἄκτιστον ὑπόστασιν τὴν τοῦ πατρὸς, κτιστὰς δὲ τὰς ὑπολοίπους. νῦν δὲ ἀδιάφορον τῇ οὐσίᾳ τὴν ἐνέργειαν, ὡς ὁ Σαβέλλιος τῇ οὐσίᾳ τὴν ὑπόστασιν, καὶ οὕτω τὸ ἑνιαῖον τῆς θεότητος ἐπιστρατεύσαντες τῷ διακεκριμένῳ τὰς ἀπὸ τῶν ἱερῶν γραφῶν περὶ μιᾶς θεότητος ῥήσεις συμφορήσαντες κατὰ τῶν ὀρθοδόξως ἀμφότερα φρονούντων, προβάλλονται κακῶς, σὺ δὲ προσαγαγὼν τοὺς ἐκείνων λόγους τῷ τῆς εὐσεβείας γνώμονι, ὃς τοῦ αὐτοῦ θεότητά φησιν, ἔστι μὲν ὡς, μίαν, ἔστι δ' ὡς, οὐ μίαν, ἐκείνους αὐτοὺς δείξεις πολυθέους ὄντως ὄντας, ὡς κτιστὴν καὶ ἄκτιστον τοῦ θεοῦ θεότητα φάσκοντας κακῶς. τὴν μὲν αὐτοῦ οὐσίαν μόνην ἄκτιστον εἶναι διδάσκοντας θεότητα· τὴν δὲ θεατικὴν δύναμίν τε καὶ ἐνέργειαν τοῦ πάντα πρὶν γενέσεως εἰδότος καὶ τὴν αὐτοῦ ἀξίαν, καὶ τὴν ἐξουσίαν καὶ τὴν πρόνοιαν εἰς κτίσμα κατασπῶντας. οὕτω γὰρ καὶ ὁ θεὸς αὐτοῖς πῇ μὲν κτιστὸς, πῇ δ' ἄκτιστος ὑπάρξει καὶ εἰς τἀναντιώτατα διῃρημένος. οὐδὲ γὰρ τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον ἔχουσιν ὑπολογίζεσθαι. τούτων γὰρ ἑκάτερον ἄφραστον ἐπίσης τῷ πατρί. εἰ δ' αὖθις λέγοιεν, ἀδιάφορον εἶναι τῇ οὐσίᾳ τὴν ἐνέργειαν, εἰς μίαν ταύτας συναλείφοντες, πάλιν κατὰ τὸν αὐτὸν γνώμονα τῆς εὐσεβείας εἰπὲ καὶ πῶς ἡ μὲν νοητὴ, ἡ δὲ ἀπερινόητος ἀναγέγραπται τοῦ αὐτοῦ θεότης, ὁρατή τε τοῖς ἀξίοις ἀπορρήτως ἐν δυνάμει πνεύματος καὶ πᾶσι παντάπασιν ἀόρατος μεθεκτή τε καὶ ἀμέθεκτος. οὐδὲ γὰρ ἐκεῖνο εὐσεβὲς ἀπὸ τῶν κτισμάτων νοεῖσθαι οἴεσθαι ἢ μετέχεσθαι ἢ ὁρᾶσθαι τὴν οὐσίαν τοῦ θεοῦ. καθάπερ ἐν τῇ

πρὸ ταύτης διαλέξει προαπεδείξαμεν. ἀλλ' ὁρᾶς ὅπως καλῶς τὰ τοιαῦτα συγκρινόμενα πρὸς ἄλληλα φῶς μὲν εὐσεβείας ἐκλάμπει τοῖς πιστοῖς, πῦρ δὲ καταδίκης κατὰ τῶν ἀπειθῶν ἀφίησι;

ΘΕΟΤ. Εὖ μάλα. καὶ γὰρ ἔγωγε δι' αὐτῆς τῆς πείρας ἔμαθον διαυγέστερον ἤδη κτησάμενος τὸν νοῦν ἐκ τῶν τοιούτων, καὶ ὀξύτερον συνορᾶν τὴν τῆς εὐσεβείας ἀλήθειαν. οὕτω γὰρ καὶ ἓν πνεῦμα ἀμερὲς πρεσβεύειν λέγομεν, ὅταν τὴν οὐσίαν ἢ τὴν ὑπόστασιν αὐτὴν καλῶμεν πνεῦμα. πολυμερὲς δ' ἄλλοτε φαμὲν αὐτὸ, καὶ ἑπτὰ εἶναι διδασκόμεθα τὸ ἕν. καὶ μεθεκτὸν τοῦτο διαφόρως περὶ τῶν θείων προόδων καὶ ἐνεργειῶν τοῦ ἑνὸς θείου πνεύματος ποιούμενοι τὸν λόγον. ἀμέθεκτον οὖν σὺ τὴν οὐσίαν φὴς καὶ φύσιν τοῦ θεοῦ.

ΘΕΟΦ. Ναί. τὴν ἀνώνυμον ἐκείνην καὶ ὑπερώνυμον.

ΘΕΟΤ. Μεθεκτὴν δὲ καὶ νοητὴν τὴν δύναμιν καὶ τὴν ἐνέργειαν, ἣν καὶ ὁ μέγας ἔφη Βασίλειος ἐκ τῶν ποιημάτων καταλαμβάνεσθαι.

ΘΕΟΦ. Τοῦτ' αὐτό. μεθέξεως μέντοι τοῦ θεοῦ διαφοραὶ πολλαὶ, ὡς ἐν τῷ περὶ θείων ἐνεργειῶν καὶ τῆς κατ' αὐτὰς μεθέξεως κἀν τῇ πρὸ ταύτης διαλέξει προείρηται ἡμῖν.

ΘΕΟΤ. Τὴν δὲ ἐνέργειαν ἄλλο λέγεις τῆς οὐσίας ὡς διαφέρουσαν ἐκείνης, ταύτης δὲ ἀχώριστον;

ΘΕΟΦ. Ὡς καὶ τῆς οὐσίας τὴν ὑπόστασιν. τῷ γὰρ ἀπὸ τοῦ ὀνόματος σημαινομένῳ διενήνοχεν ἑκάτερον αὐτῆς.

ΘΕΟΤ. Μὴ οὖν καὶ τὴν ἐνέργειαν ὑπόστασιν δοξάζεις;

ΘΕΟΦ. Ἄπαγε. οὐδεμία γὰρ τῶν τοιούτων ἐνεργειῶν ἐνυπόστατος, τουτέστιν αὐθυπόστατος, κατὰ τὸν μέγαν φάναι Βασίλειον.

ΘΕΟΤ. Ἀλλὰ μὴν καὶ διὰ τῆς ἐνεργείας ταύτης τὸν θεὸν φὴς μετέχεσθαι παρὰ τῶν μετεχόντων.

ΘΕΟΦ. Κατὰ τὸ ἐγχωροῦν.

ΘΕΟΤ. Καὶ διὰ τῆς οὐσίας τὸν αὐτὸν θεὸν ἀμέθεκτον.

ΘΕΟΦ. Μάλιστα.

ΘΕΟΤ. Ὄντως λῆρος τὰ καθ' ὑμῶν ἐκείνων φθέγματα. πῶς γὰρ ἄλλος ἔσται ὁ αὐτὸς, πῶς δ' αὖθις ἔσται κατὰ πάντα τὸ αὐτὸ, τῇ ἀκινησίᾳ πρόοδος, καὶ τῷ ἀμεθέκτῳ μέθεξις καὶ τῇ κρυφιότητι ἡ ἔκφανσις. ἀλλήλων μὲν γὰρ ταῦτα διαφέρειν ἀναγκαῖον ἀλλ' οὐ διαφέρων δύναται ὑπάρχειν εἴγε ἄκτιστα.

ΘΕΟΦ.

ΘΕΟΦ. Ἐι δὲ τὰ μὲν αὐτῶν κτισὰ, τὰ δ' ἄκτισα, ὦ χρησὲ Θεότιμε, ὑπάρχει, καὶ διαφόρων οὐσιῶν ἐσί.

ΘΕΟΤ. Πῶς γὰρ οὔ;

ΘΕΟΦ. Πολύθεοι ἆρ' ὡς ἀληθῶς οἱ ταῦθ' οὕτω διαιροῦντες οὗτοι. ὅταν δ' αὖθις ταυτὸν παντάπασι τιθῶνται τῇ κρυφιότητι τὴν ἔκφανσιν καὶ τῇ ἀκινησίᾳ καὶ μονιμότητι τὴν πρόοδον, καὶ τῇ ἀμεθεξίᾳ τὴν θείαν μέθεξίν τε καὶ μετάληψιν, ταυτὸν δ' εἰπεῖν τῇ τε θεε οὐσίᾳ τὴν θείαν χάριν καὶ ἐνέργειαν καταληπτὸν σαφῶς παντάπασι τίθενται τὸ θεῖον ὃ τῆς πολυθείας οὐκ ἔλαττον ἐσι κακόν. ἀλλὰ ταῦτα μὲν ἀποχρώντως νῦν ἡμῖν εἰρῆσθαι καὶ αὐτὸς ἂν, οἶμαι, φαίης.

ΘΕΟΤ. Οὐχ ἥκισα μὲν οὖν καὶ πρὸς ἀκρίβειαν ἀσφαλῶς καὶ εὐσεβῶς.

ΘΕΟΦ. Ἐκεῖνο δ' ἐνταῦθα τε λόγε γενομένοις διευκρινῆσαι ἀναγκαῖον.

ΘΕΟΤ. Ποῖον δήποτ' ἆρ' ἐκεῖνο;

ΘΕΟΦ. Πῶς φησὶν ὁ τῶν ἀποσόλων κορυφαῖος ἐν τῇ δευτέρᾳ τῶν ἐπισολῶν, ἵνα γένησθε θείας κοινωνοὶ φύσεως. ἀλλὰ καὶ ὁ σοφὸς τὰ θεῖα Μάξιμος· εἰς τοῦτο ἡμᾶς πεποίηκεν ὁ θεὸς, ἵνα γενώμεθα θείας κοινωνοὶ φύσεως καὶ τῆς αὐτε ἀϊδιότητος μέτοχοι. ὁ δὲ Νύσσης θεῖος πρόεδρος Γρηγόριος, σκεῦος φησὶ τῆς ἐκλογῆς ἅπαξ γενόμενος ὁ θεῖος Παῦλος, οἶκος περιληπτικὸς τῆς ἀπεριλήπτε γέγονε φύσεως.

ΘΕΟΤ. Εὖ σοι γένοιτο, Θεόφανες, μὴ πρὸς ἐπίδειξιν ἁπλῶς μηδὲ πρὸς τὸ πείθειν τοὺς ἀκροωμένες ποιουμένω τὴν διάλεξιν, ἀλλὰ πρὸς ἀκριβῆ τῆς ἀληθείας ἔρευνάν τε καὶ ἀπόδειξιν. νῦν γὰρ ἔγωγε σε ἀναμνήσαντος ἐνεθυμήθην ὡς τὰ τοιαῦτ' ἐκεῖνοι μέγα δεῖγμα προβαλλόμενοι μεθεκτὴν φασιν εἶναι τὴν ἐσίαν καὶ τὴν φύσιν τε θεε. ὡς οὖν προσεργου ὂν παντὸς μᾶλλον εἰς τὴν προκειμένην σκέψιν, διασάφησον ὁπόση δύναμις.

ΘΕΟΦ. Καὶ τοῦτο παραπλησίως τοῖς ἀνωτέρω εἰρημένοις τῆς αὐτῆς ἔχεται διπλόης, ὦ φιλότης. ἄκεε γὰρ αὖθις τε αὐτε Μαξίμε λέγοντος, ὁ τοῖς οὖσι μὴ κατ' ἐσίαν ὑπάρχων μεθεκτὸς, ἑτέρω δὲ τρόπω μετέχεσθαι τοῖς δυναμένοις βελόμενος τε κατ' ἐσίαν κρυφίε παντελῶς οὐκ ἐξίσαται. καὶ πάλιν· ὅλοι δι' ὅλε γινόμεθα θεοὶ χωρὶς τῆς κατ' ἐσίαν ταυτότητος. καὶ πάλιν· ἡ μακαρία θεότης κατ' ἐσίαν ἐσὶν ὑπεράῤῥητος καὶ ὑπεράγνωσος καὶ πάσης ἀπειρίας ἀπειράκις ἐξῃρημένη, μηδ' ἴχνος ὅλως καταλήψεως, κἂν ψιλὸν, τοῖς μετ' αὐτὴν καταλείψασα. καὶ τε μεγάλε Ἀθανασίου·

νασίου· κατὰ τὴν θεοποιὸν χάριν καὶ μετέχεται καὶ ὁρᾶται τοῖς ἀξίοις ὁ θεὸς, κατ' ἐσίαν δὲ ἀμέθεκτος ἐςι καὶ πάλιν· τὸ θεὸς εἶναι, δεύτερόν ἐςι τῆς φύσεως, καὶ ἡμεῖς γὰρ θεοὶ μὲν γινόμεθα, τῆς δὲ αὐτῆς φύσεως γενέσθαι οὐ δυνάμεθα. καὶ πάλιν· πρόδηλον, ὅτι οὐ τὴν ἐσίαν τε θεε ἔβλεπον οἱ ἅγιοι, ἀλλὰ τὴν δόξαν. ὡς καὶ περὶ τῶν ἀποςόλων γέγραπται, ὅτι διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ εἶδον τὴν δόξαν αὐτε. καὶ τε μεγάλε Βασιλείε αἱ μὲν ἐνέργειαι αὐτε πρὸς ἡμᾶς καταβαίνεσιν, ἡ δὲ ἐσία αὐτοῦ μένει ἀπρόσιτος. καὶ πάλιν· ἡμεῖς ἐκ τῶν ἐνεργειῶν αὐτε γνωρίζειν λέγομεν τὸν θεὸν ἡμῶν· τῇ δὲ ἐσίᾳ αὐτε προσεγγίζειν οὐχ ὑπισχνούμεθα. καὶ τε Χρυσοςόμε πατρός. τοῦ πνεύματος τὴν χάριν ἡ γραφὴ ποτὲ μὲν πῦρ, ποτὲ ὕδωρ καλεῖ. δεικνῦσα ὅτι οὐκ ἐσίας ἐςὶ ταῦτα ὀνόματα, ἀλλ' ἐνεργείας. καὶ πάλιν· οὐκ ἐκ μέτρε δίδωσιν ὁ θεὸς τὸ πνεῦμα. θέλει δεῖξαι δηλονότι ὁ τε Χριςε πρόδρομος καὶ βαπτιςὴς, ὅτι πάντες ἡμεῖς μέτρῳ τὴν τε πνεύματος ἐνέργειαν λαμβάνομεν. πνεῦμα γὰρ ἐνταῦθα τὴν ἐνέργειαν λέγει. αὕτη γὰρ ἐςιν ἡ μεριζομένη. οὗτος δὲ, τουτέςιν, ὁ Χριςὸς, ἀμέτρητον καὶ ὁλόκληρον ἔχει πᾶσαν τὴν ἐνέργειαν. εἰ δὲ ἡ ἐνέργεια αὐτε ἀμέτρητος, πολλῷ μᾶλλον ἡ ἐσία. ὁρᾷς ἀμφότερ' ἡμῖν ὑπὸ τῶν σεπτῶν θεολόγων παραδεδομένα; καὶ ὡς ἀμέθεκτός ἐςιν ἡ ἐσία τε θεε, καὶ μεθεκτή πως, καὶ κοινωνεμεν τῆς θείας φύσεως καὶ ε κοινωνοῦμεν οὐδαμῶς; δεῖ οὖν ἀμφότερα ἡμᾶς τηρεῖν, καὶ τίθεσθαι ὡς εὐσεβείας γνώμονα. καὶ τοὺς τῷ ἑνὶ χρωμένες κατὰ τε ἑτέρε, καὶ ταῦτ' οἰομένους τὸ αὐτὸ ἑκάτερον, ὡς δυσσεβεῖς τε καὶ ἄφρονας ἀποῤῥαπίζειν. μηδενὶ κατὰ μηδένα τρόπον συγχωρεντας, ὑπεναντίους ἑαυτοῖς ἢ ἀλλήλοις καὶ ταῦτ' ἐπὶ τῶν τοιούτων, νομίζειν τοὺς ἁγίους, εἰδότας, ἀνδρῶν μικρογνωμόνων ὂν ὡς ἀληθῶς τὴν δόξαν ταύτην τῆς ἐναντιώσεως· νοῦν δ' ἔχοντι καὶ σὺν νῷ μετὰ θεε σκοποῦντι, πάντα συνῳδὰ καὶ φίλια.

ΘΕΟΤ. Πῶς οὖν, ὦ σοφὲ Θεόφανες, πρὸς τῆς ἀληθείας ἄμφω ἐκεῖνα ἀληθῆ;

ΘΕΟΦ. Σὺν καὶ τοῦτο χάριν θήσομαι σαφές. πρότερον δὲ δείξομεν, ὡς ἀνοήτως παντάπασι τὴν ἀποςολικὴν καὶ τὰς πατρικὰς ἐκεῖνοι ῥήσεις διατελεσι προβαλλόμενοι, τὰς κοινωνοὺς ἡμᾶς λεγέσας γίνεσθαι φύσεως θεε. μὴ μόνον ὅτι πρὸς ἀνατροπὴν τε ἀκοινώνητον εἶναι καὶ ἀμέθεκτον τοῖς κτίσμασι πᾶσι τὴν θείαν καὶ φύσιν καὶ ἐσίαν, ὅπερ διὰ πάσης τῆς θεοπνεύςε κηρύττεται γραφῆς, ἀλλ' ὅτι καὶ ὡς αὐτοὶ ταύταις κεχρημένοι διετέλεσαν, αὐτὴν τὴν

ἐκείνων

ἐκείνων ἀνασκευάζει δόξαν. σὺ γὰρ ὅ τί ποτε δοξάζουσιν, οἶσθα τῶν ἄλλων ἀκριβέστερον. εἰπὲ τοίνυν πρὸς τῆς ἀληθείας, οὐ πάντα μὲν λέγουσι μετέχειν τȣ̃ θεȣ̃, πάντα δὲ τὰ τοῦ θεȣ̃ μετέχοντα, τῆς οὐσίας μετέχειν τȣ̃ θεȣ̃; ὡς μηδὲν ἕτερον ὄντος τȣ̃ θεȣ̃ πλὴν ȣ̓σίας μόνης, ἵνα μὴ σύνθεος αὐτοῖς εἴη, μηδὲ πολλὰ τὰ ἄκτιστα;

ΘΕΟΤ. Τοῦτ' ἄντικρυς αὐτὸ καὶ δοξάζουσι καὶ λέγȣσιν.

ΘΕΟΦ. Ἀλλ' αἱ ῥήσεις, ἃς πρὸς ἡμᾶς οἱ ἀντικείμενοι προάγȣσιν, ὡς αὐτοῖς δῆθεν συνηγόρȣς, ȣ̓ μόνον τἄλλα πάνθ' ἁπλῶς ἀλλ' οὐδὲ πάντας τοὺς ἀνθρώπους κοινωνοὺς τελεῖν φασὶ τῆς θείας φύσεως. καὶ τούτους γίνεσθαι ποθ' ὕστερον, ἀλλ' οὐκ ἐξ ἀρχῆς ὑπάρχειν κοινωνούς. Πέτρος μὲν γὰρ ὁ τȣ̃ κορυφαίου χορȣ̃ τῶν ἀποστόλων κορυφαῖος γράφων τοῖς ἰσότιμον λαχȣ̃σι πίστιν, πρὸς εὐσέβειαν καὶ ἀρετὴν παρακαλεῖ. δι' ὧν φησὶ τὰ τίμια ὑμῖν ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως. ὁρᾷς ὅτι δωρεά ἐστιν ἐν ἐπαγγελίαις κειμένη τοῖς κατὰ Χριστὸν βιοῦσι; τίς οὖν ἐπαγγέλλεταί τινι τὰ προσόντα πᾶσιν ἐκ γενέσεως; ὁ δὲ θεῖος Μάξιμος εἰς τοῦτο, φησί, πεποίηκεν ἡμᾶς ὁ θεὸς, ἵνα γενώμεθα θείας κοινωνοὶ φύσεως. ὡς οὐκ ὄντες ἄρα πρότερον, οὐδ' ἅμα τῇ γενέσει καὶ κοινωνοὶ πεποιημένοι ταύτης. ὁ δὲ θεῖος Παῦλος οὐχ ὅτε μὴ πιστὸς μόνον, ἀλλὰ καὶ μιμητὴς γέγονε Χριστȣ̃, τῆς ἀπεριλήπτου φύσεως οἶκος ἐχρημάτισε; πȣ̃ τοίνυν εἰσίν, οἱ τὰ ὄντα πάντα κοινωνεῖν λέγοντες αὐτῆς, ἐπεὶ πάντα μετέχει τȣ̃ θεȣ̃;

ΘΕΟΤ. Ἐῤῥέτωσαν οὗτοι, παιδαριώδεις γὰρ ὄντες τὴν διάνοιαν, νεανικοὶ δὲ τὴν ἀπείθειαν καὶ τὴν ἀναίδειαν, ταῖς φρεσὶν ὡς ἔοικεν, ἀλλ' οὐ τῇ κακίᾳ, νηπιάζȣσιν. ἐγὼ δ' οἶμαι συνορᾶν ἐκ τῶν εἰρημένων νῦν, ὅπως καὶ μεθεκτὸς καὶ ἀμέθεκτος εἶναι λέγεται κατ' ȣ̓σίαν ὁ θεός.

ΘΕΟΦ. Ἐξήγησαι τοίνυν, ὃ τυγχάνεις διανοούμενος.

ΘΕΟΤ. Ἐπειδὴ τοῖς ἁγίοις μόνοις δέδοται, κοινωνοὺς τῆς θείας φύσεως τελεῖν, τοῖς μὲν ἄλλοις ἀμέθεκτον ἐρȣ̃μεν τὴν ȣ̓σίαν τε καὶ φύσιν τȣ̃ θεȣ̃· τοῖς δὲ εὐηρεστηκόσι τούτῳ, μεθεκτήν. μάλιστα δὲ κατὰ τὴν μέλλȣσαν ἐκείνην λῆξιν καὶ πρὸς τοῦτ' ἄρ' αὐτὸ κἀκεῖνο φέρει τὸ εἰρημένον Γρηγορίῳ τῷ τῆς θεολογίας ἐπωνύμῳ. ἔσται δὲ ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν ἐν τῷ καιρῷ τῆς ἀποκαταστάσεως, ὅταν μηκέτι πολλὰ ὦμεν ὥσπερ νῦν τοῖς κινήμασι καὶ τοῖς πάθεσιν, οὐδὲν ὅλως θεὸν ἢ ὀλίγον ἐν ἡμῖν αὐτοῖς φέροντες. ἀλλ' ὅλοι θεοειδεῖς, ὅλȣ θεȣ̃ χωρητικοὶ καὶ μόνου. τοῦτο γὰρ ἡ τελείωσις

λείωσις πρὸς ἣν σπεύδομεν. καλῶς ἆρ' ἐπιβαλεῖν δοκῶ; Θεόφανες: καὶ ταῦθ' οὕτως ἔχει, καὶ σοὶ συνδοκεῖ καὶ συμφήσαις ἂν ἐπιψηφιζόμενος μὴ ἄλλως ἔχειν;

ΘΕΟΦ. Ἄπαγε. Μεσσαλιανοὺς γὰρ τοῦτ' αὐτὸ φρονοῦντας ὡς οἱ κατ' αὐτοὺς κεκαθαρμένοι τὴν ὑπόστασιν δέχονται τȣ͂ παναγίȣ πνεύματος. καὶ εἰς ἐκείνην ἀνέρχονται τὴν φύσιν, οἱ θεῖοι πατέρες τελέως ἀπεκήρυξαν. εἰπόντες, ὡς γίνεταί τις ἐπιδημία τȣ͂ πατρὸς καὶ τȣ͂ υἱȣ͂ καὶ τȣ͂ ἁγίȣ πνεύματος, τοῖς ὡς χρεὼν κεκαθαρμένοις, καὶ ἐνοικεῖ αὐτοῖς κατὰ τὴν εὐαγγελικὴν ἐπαγγελίαν. ἀλλ' οὐχ ὡς ἔχει φύσεως ἡ θεότης, ἀλλὰ μηδὲ τὸ θεολογικὸν ἐκεῖνο θορυβείτω σου πάλιν τὴν διάνοιαν, ὡς ὅλȣ θεȣ͂ χωρητικοὶ ἔσονται οἱ ἅγιοι, τῶν λόγων ἐκείνων μεμνημένου, ὧν ἔναγχος ἐποιησάμεθα, δεικνύντες μηδαμῆ μηδὲν λυμαίνεσθαι τῷ ἀμεθέκτῳ τῆς οὐσίας, τὸ δι' ἑκάστης τῶν ἐνεργειῶν ὅλον τὸν θεὸν μετέχεσθαί τε καὶ νοεῖσθαι λέγεσθαι. οὐ γὰρ σωματικῶς μερίζεται τὰ ἀσώματα. διὸ καὶ διὰ τῆς μιᾶς ὑποστάσεως ὅλῳ μοι ἀτρέπτως ὅλος ἥνωται. οἱ χωρητικοὶ τοίνυν θείας καὶ θεοποιȣ͂ γεγονότες ἐνεργείας, ὅλȣ θεȣ͂ καθεστήκασι χωρητικοί. ὅταν δὲ τὴν φύσιν ὑπεραναβάντες καθαρῶς, πᾶσαν ἀποπαύσωσιν ἐνέργειαν ψυχῆς καὶ σώματος, ὡς μόνης τῆς θείας ἐνεργείας ἐπειλημμένοι, τηνικαῦτα τελεσθεῖεν ἂν ὅλȣ καὶ μόνȣ θεȣ͂ χωρητικοί. τοῦτο γὰρ ἡ τελείωσις πρὸς ἣν σπεύδομεν ἀποστολικῶς εἰπεῖν, ἀποτιθέμενοι τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν. φησὶ γὰρ καὶ Μάξιμος ὁ τῶν τοιούτων, εἴπέρ τις, ἑρμηνεὺς, ὅτι πᾶσα θεία ἐνέργεια δι' ἑαυτῆς ὅλον τὸν θεὸν ἀμερῶς ὑποσημαίνει· πᾶσαν δὲ εἰπὼν, πολλὰς ἔδειξε καὶ οὐκ ȣ̓σίας οὔσας. ὅτι δὲ οὐδὲ τοῖς ἁγίοις μεθεκτή ἐστιν ἡ ȣ̓σία τȣ͂ θεȣ͂, ὁ αὐτὸς μάξιμος διὰ τῶν μικρὸν ἀνωτέρω προηγμένων ἔδειξεν ἡμῖν, εἰπὼν, ὡς ὁ θεὸς τȣ͂ κατ' ȣ̓σίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται. καὶ πάλιν· ὅλοι διόλȣ γινόμεθα θεοὶ, χωρὶς τῆς κατ' ȣ̓σίαν ταυτότητος. καὶ ὁ μέγας Ἀθανάσιος, κατὰ τὴν θεοποιὸν χάριν, καὶ μετέχεται καὶ ὁρᾶται τοῖς ἀξίοις ὁ θεὸς, κατ' οὐσίαν δὲ ἀμέθεκτός ἐστι. καὶ πάλιν· θεοὶ μὲν γινόμεθα· τῆς δὲ αὐτῆς φύσεως γενέσθαι ȣ̓ δυνάμεθα. καὶ ὁ Χρυσόστομος πατὴρ, οὐκ ἐκ μέτρȣ δίδοσθαι τὸ πνεῦμα παρὰ τȣ͂ βαπτιστȣ͂ ἀκηκοὼς, θέλει, φησὶ, δεῖξαι, ὅτι πάντες ἡμεῖς μέτρῳ τὴν ἐνέργειαν τȣ͂ πνεύματος λαμβάνομεν. αὕτη γάρ ἐστιν ἡ μεριζομένη, ὡς τῆς ȣ̓σίας οὔσης ἀμερȣ͂ς. ὥστε οὐδ' οὗτος συγχωρεῖ, οὐδ' αὐτȣ̀ς τȣ̀ς μετέχοντας τȣ͂ πνεύματος μετέχειν οἴεσθαι τῆς ȣ̓σίας τȣ͂ πνεύματος. πρὸς δὲ τοῖς ἐνθέοις διδάγμασι τῶν θεοσόφων τȣ́των, οὐδὲ τῷ

ἀνωτέ-

ἀνωτέρω μικρὸν ἡμῖν ἐκτεθειμένῳ γνώμονι τῆς εὐσεβείας ἐναρμόνιόν ἐςι, τὸ τοὺς ἁγίους μετόχȣς εἶναι τῆς ȣσίας τȣ͂ Θεȣ͂. ἐκεῖνος γὰρ μεθεκτὴν ἁπλῶς καὶ ἀμέθεκτον ἐτίθει ταύτην. ἀλλ' οὐχὶ τισὶ μὲν ἀμέθεκτον, τισὶ δὲ μεθεκτήν.

ΘΕΟΤ. Ἐι τοίνυν μήτε κατὰ μέρη ταύτην τὴν διαφορὰν προσίεται· καὶ γὰρ ὑπάρχει ἀμερής· μήτε τισὶ μὲν μέτεσιν αὐτῆς, τισὶ δ' οὐ μέτεσι, πῶς ἑκάτερον ἐκεῖνο ἀληθές;

ΘΕΟΦ. Ἄκȣε καὶ μάνθανε. τὴν ὑπερȣσιότητα τὴν θείαν, οὔτε εἰπεῖν ἐςιν ȣ͂τε ἐννοῆσαι, οὔτε ὅλως πως θεωρῆσαι. διὰ τὸ πάντων αὐτὴν ἐξῃρημένην εἶναι καὶ ὑπεράγνωςον, ἀπεριλήπτῳ δυνάμει καὶ τῶν ὑπερȣρανίων νόων ὑπεριδρυμένην, καὶ πᾶσι πάντῃ ἄληπτόν τε καὶ ἄῤῥητον ἀεί. οὐδὲ γὰρ ὄνομά ἐςιν αὐτῆς κατὰ τὸν νῦν αἰῶνα ἢ κατὰ τὸν μέλλοντα ὀνομαζόμενον, οὐδὲ λόγος ἐν ψυχῇ συνιςάμενος ἢ διὰ γλώττης προσφερόμενος, οὐκ ἐπαφή τις αἰσθητὴ ἢ νοερά. ἀλλ' οὐδὲ φαντασία ὅλως, εἰ μή τις φαίη τὴν ἐξ ἀποφάσεων τελεωτάτην ἀκαταληψίαν, ὡς πάντα, ὅσα ἐςὶν ἢ ὅλως λέγεται, ὑπεροχικῶς ἀφῃρȣμένην· καὶ τοίνυν οὐδ' ȣσίαν αὐτὴν ἢ φύσιν ὀνομάσαι θεμιτὸν ὀνομάζοντα κυρίως, ὅςις τὴν ὑπὲρ πᾶσαν ἀλήθειαν ἀληθείας ἐπιγνώμων. ἐπεὶ δ' αὖθις πάντων ἐςὶν αἰτία καὶ περὶ αὐτὴν πάντα καὶ αὐτῆς ἕνεκα, καὶ αὐτὴ ἐςὶ πρὸ πάντων καὶ ἁπλῶς καὶ ἀπεριορίςως ἐν ἑαυτῇ ἅπαντα προείληφεν, ἐκ πάντων αὐτὴν ὀνομάσεεν, καταχρηςικῶς ἀλλ' ȣ̓ κυρίως. οὐκȣ͂ν καὶ ȣσίαν αὐτὴν καὶ φύσιν προσρητέον· κυρίως δὲ τὴν ȣσιοποιὸν τȣ͂ Θεȣ͂ πρόοδόν τε καὶ ἐνέργειαν. ὅτι δὲ καὶ αὐτὴ οὐσιωνυμεῖται καὶ κυρίως αὕτη, τȣ͂ μεγάλȣ ἄκουσον Διονυσίου, μετιτέον, λέγοντος, ἐπὶ τὴν ὄντως οὖσαν τοῦ ὄντως ὄντος θεολογικὴν οὐσιωνυμίαν. τοσοῦτον δὲ ὑπομνήσομεν, ὅτι τῷ λόγῳ σκοπὸς οὐ τὴν ὑπερȣ́σιον οὐσίαν, ᾗ ὑπερȣ́σιος, ἐκφαίνειν· ἄῤῥητον γὰρ τοῦτο καὶ ἄγνωςον καὶ παντελῶς ἀνέκφαντον, καὶ αὐτὴν ὑπεραῖρον τὴν ἕνωσιν· ἀλλὰ τὴν ȣσιοποιὸν εἰς τὰ ὄντα πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον ὑμνῆσαι. ὁρᾷς, ὅτι ὄντως οὖσαν οὐσιωνυμίαν, τὴν θείαν λέγει πρόοδον; καλεῖ μέντοι οὕτω κἀνταῦθα καὶ τὸ κρύφιον πάντῃ καὶ ἀνεκφοίτητον καὶ ἀνέκφαντον ἐκεῖνο. εὕροις δ' ἂν παραπλησίως καὶ τὴν τῆς φύσεως προσηγορίαν κἀπὶ τῶν φυσικῶς προσόντων τιθεμένην. ὡς καὶ ὁ τῶν Γρηγορίων θεολογικώτατός φησί που τῶν ἐπῶν· ἤδε γὰρ ἄνακτος ἐμȣ͂ φύσις ὄλβον ὀπάζειν. οὐδὲ γὰρ τὸ διδόναι φύσις ὁτωοῦν, ἀλλὰ φυσικῶς τοῦτο πρόσεςι τῷ εὐεργετικῷ. κἀπὶ τȣ͂ πυρὸς δὲ

φαίη τις ἂν, φύσιν ἔχειν ἀνωφερὲς εἶναι, καὶ φῶς ἐνιέναι τοῖς ὁρῶσιν. ἀλλ' οὐχ ἡ κίνησις αὐτῷ φύσις, οὐδὲ τὸ ἐμποιεῖν ἁπλῶς, ἀλλ' ἡ τῆς κινήσεως ἀρχή. λέγεται τοιγαροῦν καὶ τὰ φυσικὰ φύσις, ὡς καὶ αὐτὸ ὁ μέγας Διονύσιος ἀλλαχοῦ φησὶ, φύσις, γράφων, τῷ ἀγαθῷ, τὸ παράγειν καὶ σώζειν· δηλονότι φυσικῶς τοῦτο πρόσεστιν αὐτῷ. καὶ τοίνυν ὅταν ἀκούσῃς τῶν πατέρων ἀμέθεκτον λεγόντων τὴν οὐσίαν τοῦ θεοῦ, ἐκείνην μοι νόει τὴν ἀνεκφοίτητόν τε καὶ ἀνέκφαντον. ὅταν δ' αὖθις μεθεκτὴν, νόει μοι τὴν φυσικῶς προσοῦσαν τῷ θεῷ πρόοδον, καὶ τὴν ἔκφανσιν καὶ τὴν ἐνέργειαν. καὶ οὕτω στέργων ἀμφότερα, ὁμόλογος ἔσῃ τοῖς πατράσιν. ἀλλὰ καὶ διὰ τῆς τοιαύτης ἐνεργείας, ἐκείνην αὐτὴν, εἰ καὶ μὴ καθ' ἑαυτὴν τὴν θείαν φύσιν λέγων μεθεκτὴν, ἐν τοῖς ὅροις μενεῖς τῆς εὐσεβείας. συντηρεῖται γὰρ καὶ οὕτω τὸ ἀμέθεκτόν τε καὶ ἀνέκφαντον τῆς ἀνεκφοιτήτου φύσεως ἐκείνης. ἴδοι δ' ἄν τις καὶ τοὺς ἔξωθεν σοφοὺς οὐσίαν οὐ τὴν ἑκάστου μόνον φύσιν ὀνομάζοντας, ἀλλὰ καὶ τὰ φυσικὰ καὶ οὐσιώδη. διαιροῦντες γὰρ ὑπὸ τὴν οὐσίαν ταῦτα πάντα τάττουσιν. ἡμεῖς δ' ἔτι προσδιατρίψαντες τῇ τοῦ ἀμεθέκτου θεωρίᾳ, τὸ κρύφιόν τε καὶ ἀνέκφαντον τῆς θείας φύσεως, ἐφ' ὅσον ἡμῖν ἔξεστιν ἀναφήνωμεν ὕψος. ἐρομένῳ μοι τοίνυν ἀπόκριναι, χρηστὲ Θεότιμε, οὐ τὸ μέρος τῆς οὐσίας καὶ τὸ βραχύτατον, πάσας ἔχει τὰς αὐτῆς δυνάμεις;

ΘΕΟΤ. Πάντας οἶμαί σοι τοῦτο συνερεῖν, καὶ δι' αἰσθήσεως εἰδότας, ὡς καὶ ὁ σπινθὴρ ἐλάχιστον ὑπάρχον τοῦ πυρὸς, λαμπρόν τε καὶ φωτιστικόν ἐστι, διακριτικόν τε καὶ καυστικὸν τῶν ἐγγιζόντων, αὐτοκίνητόν τε φύσει καὶ ἀνωφερές, καὶ ἁπλῶς ὅσα καὶ τὸ πῦρ, οὗ μόριον ἐστι. καὶ ἡ σταγὼν, ὅσα καὶ τὸ ὕδωρ, οὗ ἐστι σταγών. καὶ ἡ βῶλος ὅσα καὶ τὸ μέταλλον, ὁτουδήποτ' ἂν ἀπορρὼξ διατελοίη.

ΘΕΟΦ. Τοιγαροῦν εἴπερ τῆς οὐσίας τοῦ θεοῦ μετέχομεν, κἂν εἰ πάσης κἂν εἰ μορίου μετέχῃ τις αὐτῆς, παντοδύναμος ἔσται. καὶ οὕτω τῶν ὄντων ἕκαστον ἔσται παντοδύναμον. ὃ μηδὲ πάντες ἔχομεν ὁμοῦ, κἂν πᾶσαν τὴν κτίσιν συμπεριλαβὼν εἴπῃς. τοῦτο δεικνὺς ὁ Παῦλος ἐκ περιουσίας καὶ αὐτοῖς τοῖς εὐμοιρηκόσι τῶν θεοποιῶν χαρισμάτων τοῦ πνεύματος, οὐ πάνθ' ἑκάστῳ προσεῖναι μαρτυρεῖ τὰ χαρίσματα τοῦ πνεύματος, ἀλλὰ τῷ μὲν φησι, δίδοται λόγος σοφίας· τῷ δὲ λόγω γνώσεως· ἄλλῳ δ' ἄλλο τι κατὰ τὸ αὐτὸ πνεῦμα. ὁ δὲ Χρυσόστομος πατὴρ, φανερῶς ἐντεῦθεν προαναστέλλων τὸν Βαρλαὰμ καὶ Ἀκινδύνου πλάνην, οὐ πάντα τίς ἔχει φησὶν, ἵνα μὴ φύσιν εἶναι τὴν χάριν νομίσῃ.

ΘΕΟΤ.

ΘΕΟΤ. Σαφὴς ὄντως ἀνασκευὴ τοῦτο τῆς νῦν ἐπαναςάσης τῇ εὐσεβείᾳ λύμης. οὐδὲ γὰρ ἂν ἔχοιεν κτιςὴν νομίσαι πεῖσαι τὴν τῆς θείας φύσεως ἀντιδιεςαλμένην ὧδε χάριν, οἱ τῆς θείας χάριτος πολέμιοι. τίς γὰρ ἄν ποτε δείσειε, μὴ τὸ κτίσμα νομίσῃ τις θεοῦ φύσιν;

ΘΕΟΦ. Μερισμὸν οἱ τάλανες οὗτοι, Θεότιμε, τὴν διαςολὴν ὑπονοοῦσι ταύτην. μὴ συνορῶντες οὖν ὡς εἰ καὶ διενήνοχε τῆς φύσεως, οὐ διασπᾶται ταύτης ἡ τοῦ πνεύματος χάρις, ἐπισπᾶται δὲ μᾶλλον τοὺς ἠξιωμένους πρὸς τὴν συνάφειαν τοῦ θείου πνεύματος, εἰς αὐτὴν τὴν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος φύσιν βλασφημοῦντες οὐκ αἰσθάνονται, κατὰ τῆς τοιαύτης χάριτος χωροῦντες. μηδὲ τοῦ Νύσσης ἐνθέου Γρηγορίου λέγοντος ἀκούοντες ἐν τοῖς κατὰ Μακεδονίου λόγοις, ὥσπερ ἡ χάρις ἀδιασπάςως ἀπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἐπὶ τοὺς ἀξίους ῥέουσα φέρεται, οὕτω καὶ ἡ βλασφημία εἰς τὸ ἔμπαλιν κατὰ διάδοσιν ἀναλύουσα, ἀπὸ τοῦ πνεύματος διὰ τοῦ υἱοῦ ἐπὶ τὸν τῶν ὅλων θεὸν διέρχεται. ἥ γε μὴν οὐσία παρ᾽ ὅσων ἐςὶ μετεχομένη, τοσαύτας καὶ τὰς ὑποςάσεις ἔχει. καὶ γὰρ ὁπόσας ἂν ἀνάψαι τις λαμπάδας ἀπὸ τῆς μιᾶς, τοσαύτας καὶ τὰς ὑποςάσεις τοῦ πυρὸς ἐποίησε.

ΘΕΟΤ. Συμβαίνει τοίνυν ἐντεῦθεν, ὦ σοφὲ Θεόφανες, εἰ κατὰ τοὺς ἡμῖν ἀντικειμένους ἡ οὐσία τοῦ θεοῦ μετέχεται καὶ ταῦτα παρὰ πάντων, μηκέτι τρισυπόςατον αὐτὴν, ἀλλὰ μυριοϋπόςατον ὑπάρχειν.

ΘΕΟΦ. Μάλιςα. τὸ γὰρ ἀκόλουθον εὖ μάλα συνήγαγες ἀγχίνους ὤν. τὸ δ᾽ ἔτι χεῖρον ἅμα καὶ παραδοξότερον ὅτι μυριοϋπόςατον ἐντεῦθεν ποιοῦντες οἱ ἀντιλέγοντες ἡμῖν τὴν οὐσίαν τοῦ θεοῦ, τὰς τρεῖς θείας ὑποςάσεις εἰς μίαν συναλείφουσι κατὰ Σαβέλλιον. ἐν ἑνὶ γὰρ ἑκάςῳ τῶν μετεχόντων τὰς τρεῖς εἰς μίαν συνάγουσιν ὑπόςασιν. ὡς ἕκαςον τῶν τὴν οὐσίαν τοῦ θεοῦ μεθεκτὴν δογματιζόντων, μυριάκις ἄλλον Σαβέλλιον διατελεῖν. ἔδει δὲ τῷ πονηρῷ μὴ δι᾽ ἑνὸς ἰσχύσαντι κατὰ τῆς εὐσεβείας, διὰ μυρίων, μᾶλλον δὲ καὶ σὺν πολλαῖς ταῖς τῶν κακοφρόνων μυριάσιν, αὖθις προσβαλεῖν. ἀλλ᾽ οὐδ᾽ οὕτω τῆς ἀληθείας περιέςαι. τὴν δὲ τῶν αὐτῷ πειθομένων ἀφροσύνην ἐκδηλοτέραν εἰργασμένος ἔςαι. πρὸς γὰρ ταῖς ἄλλαις δυσσεβείαις καὶ τοῦ μόνου Χριςοῦ, βαβαὶ τῆς ἀπονοίας, ὑπέρτερον ἑαυτὸν ὁ Ἀκίνδυνος παρίςησιν ὅλῳ λέγων ἑνοῦσθαι τῷ θεῷ, καὶ τῇ οὐσίᾳ καὶ ταῖς ἐνεργείαις καὶ ταῖς τρισὶ θείαις ὑποςάσεσιν. εἰ δ᾽ ἄρα κατὰ μίαν τῶν ὑποςάσεων ὅλῳ τῷ θεῷ ἑνοῦσθαι λέγει, καὶ τῇ θείᾳ οὐσίᾳ καὶ πάσαις ταῖς θείαις ἐνεργείαις, τοῦ μόνου Χριςοῦ διενηνο-

χέναι φησὶν οὐδέν. ἀλλ' ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος τοὺς Φρενοβλαβεῖς τούτους φληνάφους πόρρωθεν ἀνασκευάζων, Χριστὸς φησι, διὰ τὴν θεότητα· χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος· οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους Χριστοὺς ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος. τοῦτο καὶ κοινῇ συνελθόντες οἱ θεόσοφοι πατέρες ἔδρασαν. καθάπερ ἔφθημεν εἰπόντες ἐνοικεῖν ἀποφηνάμενοι τὴν θεότητα τοῖς ὡς χρεὼν κεκαθαρμένοις, ἀλλ' οὐχ ὡς ἔχει φύσεως. οὔτε τοίνυν κατὰ τὴν οὐσίαν, οὔτε καθ' ὑπόστασίν τινα, μέτοχός τις γίνεται θεοῦ. μερίζεται γὰρ τούτων ἑκάτερον οὐδ' ὁπωσοῦν, οὐδὲ μεταδίδοται τοπαράπαν οὐδενί. διὸ καὶ πᾶσι παντάπασιν ἀχώρητος κατὰ ταῦτα ὁ θεὸς, εἰ καὶ πανταχοῦ κατὰ ταῦτα πάρεστι. ἡ δὲ κοινὴ τῆς τρισυποστάτου φύσεως θεία δύναμίς τε καὶ ἐνέργεια, ἀπεργαστική τε τῶν ἐκτὸς ἐστι, καὶ εἰς μυρία μερίζεται. παντοδύναμον γὰρ τὸ θεῖον. ταῦτ' ἄρα καὶ πολλοὶ κατὰ ταύτην ἑνοῦνται θεῷ, ποικίλως καὶ διαφόρως αὐτοῦ μετέχοντες. καὶ τὸ μέρος γὰρ τῆς ἐνεργείας πάλιν μερίζεται κατὰ τὸν Χρυσόστομον πατέρα. καὶ κατὰ τὸν μέγαν Βασίλειον, τὸ πνεῦμα τὸ ἅγιον οὐχ ἑνὶ μέτρῳ τοῖς ἀξίοις μετεχόμενόν ἐστιν, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πίστεως διαιρεῖ τὴν ἐνέργειαν, ἁπλοῦν μὲν ὂν τῇ οὐσίᾳ, ποικίλον δὲ ταῖς δυνάμεσιν.

ΘΕΟΤ. Ἄγαμαί σε τῆς θεολογικωτάτης διανοίας, ὦ Θεόφανες. θεοπρεπής τε γὰρ ἐς τὰ μάλιστα ἐστὶν, ἀμερῆ μὲν δεικνῦσα πάντη τὴν ὑπερούσιον οὐσίαν, ἀμερίστως δὲ μερίζουσα τὴν θείαν τοῦ θεοῦ ἐνέργειαν. καὶ τὸ εὐπαράδεκτον, οὐδὲν ἧττον πρόσεστιν αὐτῇ. διὰ τοῦτο γὰρ καὶ χωρητὸν γίνεται κατ' ἐνέργειαν τοῖς κεχαριτωμένοις. ἀνθρώποις μέντοι τὴν φύσιν οὔσι τὸ πνεῦμα τὸ ἅγιον, ἐπεὶ κατὰ ταύτην οὕτω καὶ μερίζεται, κατ' οὐσίαν δὲ καὶ ὑπόστασιν ὑπάρχον ἀμερὲς, πῶς ἂν τινι χωρηθείη τοπαράπαν.

ΘΕΟΦ. Καὶ τὸ μετέχον, ὦ θαυμάσιε Θεότιμε, μέρος ἔχει τοῦ μετεχομένου. κἂν γὰρ εἰ μὴ μέρους, ἀλλὰ τοῦ παντὸς μετέχει, ἔχειν ἂν κυρίως τοῦτο λέγοιτ' ἂν, ἀλλ' οὐχὶ μετέχειν τούτου. μεριστὸν ἄρα τὸ μετεχόμενόν ἐστιν, εἴπερ μέρους μετέχειν ἀνάγκη τὸ μετέχον. ἡ δὲ οὐσία τοῦ θεοῦ παντάπασιν ἐστιν ἀμέριστος. οὐκοῦν καὶ παντάπασιν ἐστιν ἀμέθεκτος. τὸ δὲ μερίζεσθαι τῆς θείας ἐνεργείας εἶναι, πολλάκις ὁ Χρυσόστομος ἀποφαίνεται πατήρ. αὕτη τοιγαροῦν ἐστὶν ἡ καὶ παρὰ τῶν ἠξιωμένων τῆς θεουργοῦ χάριτος μετεχομένη. καὶ τοῦτο γὰρ εἶναι τῆς θείας χάριτος ἴδιον, ὁ πολὺς τὰ θεῖα Μάξιμος φησὶ, τὸ ἀναλόγως τοῖς οὖσι χαρίζεσθαι θέωσιν. λαμπρυνούσης τὴν φύσιν τῷ ὑπὲρ φύσιν φωτί.

φωτί. καὶ τῶν οἰκείων ὅρων ὑπεράνω, κατὰ τὴν ὑπερβολὴν τῆς δόξης ποιουμένης. ἄκουσον πάλιν τȣ̃ χρυσȣ̃ τὴν γλῶτταν ἀμφότερα διδάσκοντος, τό, τε τὴν ἐνέργειαν, ἀλλ' ȣ̓ τὴν ȣ̓σίαν εἶναι τὴν μετεχομένην, καὶ τὸ, ταύτην εἶναι τὴν μεριζομένην ἀμερίςως, τὴν καὶ μετεχομένην, ἀλλ' οὐχὶ τὴν ἀμέθεκτον ȣ̓σίαν, ἐξ ἧς ἡ θεία πρόεισιν ἐνέργεια. προθεὶς γὰρ τὸ ἀποςολικὸν ἐκεῖνο, ἐκ τοῦ πληρώματος αὐτȣ̃ ἡμεῖς πάντες ἐλάβομεν, εἰ γὰρ ἐπὶ τοῦ πυρός, φησιν, ἔνθα ȣ̓σία ἐςὶ τὸ μεριζόμενον σῶμα, καὶ μερίζομεν καὶ οὐ μερίζομεν αὐτὸ, πόσῳ μᾶλλον ἐπὶ τῆς ἐνεργείας, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου ȣ̓σίας, ἔτι τὸ τινὸς μετέχον κατ' ȣ̓σίαν, κοινὴν ἀνάγκη μετὰ τοῦ μετεχομένου τὴν οὐσίαν ἔχειν, καὶ κατά τι τὴν αὐτήν. τίς οὖν ποτ' ἤκουσε, μίαν εἶναι θεȣ̃ καὶ ἡμῶν κατά τι τὴν οὐσίαν. καὶ ταῦτα τȣ̃ μεγάλȣ Βασιλείου λέγοντος, αἱ μὲν ἐνέργειαι τȣ̃ θεȣ̃ πρὸς ἡμᾶς καταβαίνουσιν· ἡ δὲ ȣ̓σία αὐτȣ̃ μένει ἀπρόσιτος. καὶ τȣ̃ θείου Μαξίμου, πάντα ὅσα ὁ θεὸς, καὶ ὁ διὰ τῆς χάριτος τεθεωμένος ἔςαι, χωρὶς τῆς κατ' ȣ̓σίαν ταυτότητος. οὐκ ἄρα τῆς θείας ȣ̓σίας ἔνεςι μετέχειν, οὐδ' αὐτοὺς τοὺς τῆς θείας χάριτος τεθεωμένȣς. τῆς δὲ θείας ἐνεργείας ἔνεςι μετέχειν. εἰς τοῦτο γάρ με φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας λαμπρότητα θεȣ̃ ἰδεῖν καὶ παθεῖν, φησὶν ὁ θεολόγος Γρηγόριος. καὶ ἡ λαμπρότης τοῦ θεȣ̃ ἡμῶν ἐφ' ἡμᾶς κατὰ τὸν ψαλμῳδὸν προφήτην. καὶ μίαν εἶναι θεȣ̃ καὶ τῶν ἁγίων τὴν ἐνέργειαν, ὁ τούτοις ἐναρίθμιος Μάξιμος γράφει διαῤῥήδην, καὶ ζώσας εἰκόνας εἶναι τούτȣς Χριςȣ̃. καὶ ταὐτὸ μᾶλλον αὐτῷ κατὰ τὴν χάριν ἢ ἀφομοίωμα.

ΘΕΟΤ. Πάνυ μὲν ὑγιῶς ἔχει, καὶ τοῖς ἁγίοις ἐς τὰ μάλιςα συνᾴδει τὰ περὶ τῆς θείας ἀμεθεξίας τεθεωρημένα σοι Θεόφανες. ἀλλ' εἰσὶν, οἳ λέγουσι, καὶ ἀπερινόητον εἶναι καὶ ἀμέθεκτον. καὶ νοεῖσθαι καὶ μετέχεσθαι τὴν ȣ̓σίαν τȣ̃ θεȣ̃ καθ' ἑαυτὴν ὑπερφυῶς, καὶ νομίζȣσιν οὕτω μᾶλλον εὐσεβεῖν, τὸ ὑπερφυὲς τοῖς θείοις ἐναρμόζοντες.

ΘΕΟΦ. Ἀλλ' οὐχ ὑπερφυὲς τοῦτ' ἐςὶν, οὐδὲ θεοπρεπὲς. ἄπαγε. παρὰ φύσιν δὲ μᾶλλον καὶ τῶν ἀδυνάτων πάντη. τὸ γὰρ αὐτὸ κατὰ τὸ αὐτὸ μεθεκτὸν εἶναι καὶ ἀμέθεκτον, νοητόν τε καὶ ἀπερινόητον, τελέως ἀσύμβατόν ἐςι καὶ ἀσύςατον, καὶ ὡς ποῤῥωτάτω τȣ̃ ὄντως ὄντος διὰ τὴν ἄκραν ἐναντίωσιν. ἐπεὶ καὶ κατὰ τὸν Νύσσης θεῖον Γρηγόριον τοιοῦτόν ἐςιν ἕκαςον τῶν ἐπὶ θεȣ̃ λεγομένων, ὡςε κἂν διαφέρῃ τῷ σημαινομένῳ, μηδεμίαν ἔχειν πρὸς τὸ συνονομαζόμενον ἐναντίωσιν. ὁ δὴ τȣ̃το λέγων, τὸ αὐτὸ κατὰ τὸ αὐτὸ συντιθέμενος καὶ ἀνανεύων, τοῖς οἰκείοις τε λόγοις αὐτὸς

αὐτὸς πάλιν ἀντίθεός ἐςι, καὶ τὸ τȣ͂ θεȣ͂ ὑπερφυὲς εἰς τὸ παρὰ φύσιν κατασπᾶ, καὶ δι᾽ ἀλλήλων ὧν φησιν ἀναιρῶν ἑκάτερον, ἀθετεῖ τελέως τὸ εἶναι τὸν θεὸν, καὶ τοῖς ἀθέοις ἑαυτὸν συντάττει. διὰ τοῦτο Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος οὐκ ἐκ τῶν κατ᾽ αὐτὸν, ἀλλ᾽ ἐκ τῶν περὶ αὐτὸν φησὶ νοεῖσθαι τὸν θεόν. ὁ δὲ μέγας Διονύσιος πάντα μετέχειν προνοίας ἐκ τῆς παναιτίου θεότητος ἐκβλυζομένης. ὁ δὲ θεῖος Μάξιμος, ἐν τῷ θεῷ φησὶ γενόμενος ὁ νοῦς, τοὺς περὶ τῆς οὐσίας αὐτοῦ πρῶτον λόγους, ἐπιζητεῖ μὲν ὑπὸ τοῦ πόθȣ φλεγόμενος, οὐκ ἐκ τῶν κατ᾽ αὐτὴν δὲ τὴν παραμυθίαν εὑρίσκει. ἀμήχανον γὰρ τοῦτο καὶ ἀνένδεκτον πάσῃ γενητῇ φύσει ἐξίσȣ. ἐκ δὲ τῶν περὶ αὐτὴν παραμυθεῖται, λέγω δὴ τῶν περὶ ἀϊδιότητος ἀπειρίας τε καὶ ἀοριςίας, ἀγαθότητός τε καὶ σοφίας καὶ δυνάμεως, δημιȣργικῆς τε καὶ προνοητικῆς καὶ κριτικῆς τῶν ὄντων. τὸ μέντοι ἀπερινόητον καὶ ἀκατονόμαςον καὶ ἀκοινώνητον ἐκεῖνο χρῆμα τῆς θείας ὑπερȣσιότητος, ȣ̓κ ȣ̓σίαν μόνον οἱ θεοῤῥήμονες εἰ καὶ μὴ κυρίως, ὡς εἰρήκαμεν, ὀνομάζοντές εἰσιν, ἀλλὰ καὶ θεότητα καὶ ἀγαθότητα καὶ σοφίαν καὶ ζωήν. καὶ ἁπλῶς ὁπόσα καὶ τὰς θεοπρεπεῖς προόδους τε καὶ ἐνεργείας ὀνομάζȣσιν αὐτȣ͂. καὶ γὰρ οὐκ ἐκφράσαι φησὶ τὴν αὐτοϋπερȣ́σιον ἀγαθότητα καὶ ȣ̓σίαν καὶ ζωὴν καὶ σοφίαν τῆς αὐτοϋπερȣσίȣ θεότητος, ὁ λόγος ἐπαγγέλλεται, τὴν ὑπὲρ πᾶσαν ἀγαθότητα καὶ θεότητα καὶ ȣ̓σίαν καὶ σοφίαν καὶ ζωὴν, τὴν ἐν ἀποκρύφοις ὑπεριδρυμένην, ἀλλὰ τὴν ἐκπεφασμένην ἀγαθοποιὸν πρόνοιαν, ὑπεροχικῶς ἀγαθότητα καὶ πάντων ἀγαθῶν αἰτίαν ὑμνεῖ. καὶ ὂν καὶ ζωὴν καὶ σοφίαν, τὴν ȣ̓σιοποιὸν καὶ ζωοποιὸν καὶ σοφοδότιν αἰτίαν, τῶν ȣ̓σίας καὶ ζωῆς καὶ νȣ͂ καὶ λόγȣ καὶ αἰσθήσεως μετειληφότων. ποῦ εἰσὶν οἱ μὴ ἀνεχόμενοι τῶν ἀκτίςων ὑπερτιθέναι τὴν ȣ̓σίαν τȣ͂ θεȣ͂. ἰδοὺ γὰρ ὁ μέγας Διονύσιος καὶ τῆς θεότητος καὶ τῆς τῶν ἀγαθῶν αἰτίας καὶ ἁπλῶς πασῶν τῶν μετοχῶν, σαφῶς ὑπερτίθησιν αὐτήν. οὐχ ὡς ὑφεςηκυιῶν καθ᾽ ἑαυτὰς, ἀλλ᾽ ὡς ἐνεργειῶν αὐτῆς μεθεκτῶν ἡμῖν ὑπαρχȣσῶν. αὐτὸς γάρ ἐςιν ὁ κατ᾽ ἐνέργειαν ὑπὸ πάντων μετεχόμενος. ὅτι δ᾽ ἀκτιςοί εἰσιν αἱ μετοχαὶ ὧν ὑπέρκειται κατ᾽ ȣ̓σίαν ὁ θεὸς, τȣ͂ αὐτȣ͂ πάλιν ἄκȣσον, μικρὸν ἀνωτέρω φάσκοντος καθὰ καὶ προειρήκαμεν, ὅτι τῷ λόγῳ σκοπὸς ȣ̓ τὴν ὑπερȣ́σιον ȣ̓σίαν, ᾗ ὑπερȣ́σιος, ἐκφαίνειν. ἀνέκφαντος γάρ. ἀλλὰ τὴν οὐσιοποιὸν εἰς τὰ ὄντα πρόοδον ὑμνῆσαι. καὶ γὰρ ἥτ᾽ ἀγαθȣ͂ θεωνυμία εἰς πάντα τὰ ὄντα ἐκτείνεται, καὶ ὑπὲρ τὰ ὄντα ἐςίν. ἡ δὲ τῆς ζωῆς εἰς πάντα τὰ ζῶντα ἐκτείνεται, καὶ ὑπὲρ τὰ ζῶντα ἐςίν. ἡ δὲ τῆς σοφίας εἰς πάντα

τὰ

τὰ νοερὰ καὶ λογικὰ καὶ αἰσθητικὰ ἐκτείνεται, καὶ ὑπὲρ πάντα ταῦτα ἐστίν. ὁρᾷς τὰς μετοχὰς ταύτας ὑπὲρ τὰ ὄντα οὔσας; ταύτας γὰρ ὑμνῆσαι ἐπηγγείλατο, ἀλλ᾽ οὐ τὴν ἀνέκφραστόν τε καὶ ἀνέκφαντον φύσιν; ἀλλ᾽ αὖθις ἄκουσον τοῦ αὐτοῦ, καὶ τῶν ὑπὲρ τὰ ὄντα τούτων μετοχῶν ἐπέκεινα εἶναι τὸν θεὸν φανερῶς θεολογοῦντος. Φησὶ γὰρ ἐν δωδεκάτῳ κεφαλαίῳ τοῦ τῆς θεωνυμίας ὕμνου· καθ᾽ ὅσον ὑπερέχουσι τῶν οὐκ ὄντων τὰ ὄντα ἅγια ἢ κύρια ἢ θεῖα ἢ βασιλικά, καὶ αὖ τῶν μετεχόντων αἱ αὐτομετοχαὶ, κατὰ τοσοῦτον ὑπερίδρυται πάντων τῶν μετεχόντων καὶ μετοχῶν ὁ ἀμέθεκτος αἴτιος. ἐπεὶ γὰρ αἱ αὐτομετοχαὶ πάντων τῶν μετεχόντων ὑπερέχουσι, μετέχοντα δ᾽ εἰσὶ καὶ οἱ ἄγγελοι τὰ καὶ τῶν ἀγγέλων ὡς μετεχόντων ὑπερέχοντα, κτιστὰ οὐκ ἔστιν, ἀλλὰ καὶ τῶν μετοχῶν τούτων ὡς ἀκήκοας ὁ κατ᾽ οὐσίαν ἀμέθεκτος ὑπερανίδρυται. πρὸς ὃ δ᾽ ἡμῖν ὁ λόγος νῦν. ἐπειδήπερ ἐκεῖνο τὸ ἀνώνυμον οὐκ οὐσία μόνον, ἀλλὰ καὶ θεότης καὶ ἀγαθότης καὶ σοφία καὶ ζωή. καὶ πάνθ᾽ ἁπλῶς, ὁπόσα καὶ τὰ μεθεκτὰ καλεῖται, εἴποτε περὶ θεοῦ ἀκούσεις ὡς οὐσίαν ἔχει τὴν ἀγαθότητα, καὶ φύσιν τὸν ἁγιασμὸν καὶ οὐκ ἄλλη παρ᾽ αὐτὸν ἡ ἁγιότης, καὶ ὡς ἡ θεότης οὐ μερίζεται, οὐδ᾽ ἐκχεῖται, οὐδ᾽ ἀποστέλλεται, καὶ τἄλλα ὅσα τούτοις παραπλήσια, μὴ τῶν ἐνεργειῶν ἑκάστην, θείαν ὑπολάβῃς εἶναι λέγεσθαι οὐσίαν, ἀλλ᾽ ἀπὸ τούτων ὁμωνύμως τὴν ὑπερώνυμον ἐκείνην ὀνομαζομένην ἴσθι, ἅτε φυσικῶς αὐτῇ προσόντων. ὁπηνίκα δ᾽ αὖθις λεγόντων τῶν θεολόγων τυγχάνεις ἀκροώμενος, ὡς τὴν ἀγαθότητα τοῦ θεοῦ ἡμῶν εἰδέναι λέγομεν καὶ τὴν σοφίαν, ἀλλ᾽ οὐ τὴν οὐσίαν, καὶ ὡς θεοὶ μὲν γινόμεθα· τῆς δὲ αὐτῆς οὐσίας γενέσθαι οὐ δυνάμεθα, καὶ ὅσα τούτοις ἐμφερῆ, θεότητά τε καὶ ἀγαθότητα, μὴ τὴν ἄληπτον ἐκείνην καὶ ἀπρόσιτον παντάπασιν οὐσίαν ὑπολάμβανε. καὶ γὰρ αὐτοὶ τοῦτο σαφῶς ἀπαγορεύουσιν, ἀλλὰ τὴν ἐκείνης θείαν ἐνέργειαν, ἧς ἐν περινοίᾳ γινόμεθα καὶ μετουσίᾳ κατὰ λόγον τῆς ἑαυτοῦ καθάρσεως ἕκαστος, καθ᾽ ὃν αὕτη πολυτρόπως, σωστικῇ δικαιοσύνῃ τοῦ μεταδιδόντος μερίζεταί τε καὶ ποικίλλεται. ταῦτ᾽ ἄρα καὶ ὁ θεῖος Μάξιμος εἰπὼν, εἰς τοῦτο ἡμᾶς πεποίηκεν ὁ θεὸς, ἵνα γενώμεθα θείας κοινωνοὶ φύσεως καὶ τῆς αὐτοῦ ἀϊδιότητος μέτοχοι· ἐπήγαγε, κατὰ τὴν ἐκ χάριτος θέωσιν, ὡς ἐκ τῆς φύσεως τῆς πρὸς τὸν θεὸν ἐκτελουμένης κοινωνίας. διὸ καὶ ἀλλαχοῦ τὴν μὲν κατ᾽ οὐσίαν πρὸς θεὸν ταυτότητα τελέως ἀπηγόρευσε, τὴν δὲ κατ᾽ ἐνέργειαν καὶ χάριν ἀνεκήρυξε. τῆς οὖν ἀγαθότητός τε καὶ θεότητος, τῆς ποικιλλομένης, τῆς μεριζομένης, τῆς μετεχομένης, τῆς καταλαμ-

βανομένης

βανομένης εἰ καὶ ἀμυδρῶς, τῆς κυρίως ὀνομαζομένης, ἡ ἁπλουςάτη καὶ ἀμέριςος καὶ ὑπὲρ ἐπωνυμίαν πᾶσαν οὖσα, καὶ μέθεξιν καὶ νόησιν. καὶ παντοίαν ἐπαφὴν, ἀγαθότης καὶ θεότης, πῶς οὐκ ἂν ὑπερκειμένη εἴη. καλῶς ἄρ᾽ εἶπε πρὸς Γαΐον, ἐρόμενον, ὁ αὐτὸς θεοφάντωρ Διονύσιος· ὡς οὐ μόνων τῶν χάριτι θεῶν· μικρὸν γὰρ ἂν εἴη τοῦτο· ἀλλὰ καὶ αὐτῆς τῆς θεαρχίας καὶ θεότητος, δηλαδὴ τῆς θεοποιοῦ δωρεᾶς καὶ χάριτος ὁ πάσης ἀρχῆς ὑπεράρχιος θεὸς ὑπέρκειται. εἰ δὲ καὶ κατ᾽ αὐτὸν αὖθις ὁ τῶν μετεχόντων μόνον, ἀλλὰ καὶ τῶν μετοχῶν αἴτιος ὁ θεός ἐςι, πῶς οὐκ ἂν εἴη μείζων καὶ τῶνδε τῶν αἰτιατῶν, ὡς αἴτιος. εἰ δὲ δεῖ καὶ δι᾽ ἡμῶν ὡς δι᾽ ἀμυδρᾶς εἰκόνος τοῦ θεοῦ τῶν εἰρημένων ἐμφανεςέραν πορίσασθαι παράςασιν, οὐχὶ νοῦς ἐςὶ καὶ ἡ τοῦ νοῦ σοφία; οὐχὶ κατ᾽ αὐτὴν καὶ μερίζεται καὶ ποικίλλεται, καὶ πρόεισι καὶ σοφίζει πολυτρόπως ἑνούμενος καὶ μετεχόμενος, ἐγγινόμενός τε νοεροῖς καὶ ἀνοήτοις. καὶ τὰ μὲν ἑαυτῷ ἐξομοιῶν ὡς κατ᾽ ἐνέργειαν νοῦν ἔχειν τὸν αὐτὸν αὐτῷ, τῶν δ᾽ αἰσθητῶν τε καὶ ἀλόγων, ἔςιν ἃ μὴ προάγων ἐκ μὴ ὄντων. οὐ γὰρ πέφυκε θεὸς, μετασχηματίζων δὲ καὶ τῆς δυνατῆς ἐπιμελείας ἀξιῶν, ἐξομοιῶν δὲ ἥκιςα, καὶ γὰρ ἀνεπίδεκτα φρενῶν. κατ᾽ οὐσίαν δὲ ἀμετάβατος ἐςὶ πρὸς ὑπόςασιν ἑτέραν, ἀμέριςός τε καὶ ἁπλοῦς, καὶ τοῖς κοινωνοῦσιν ἀμιγής; οὐκ ἀνώνυμος δ᾽ ἐςὶν ὁ ἡμέτερος νοῦς, οὐδ᾽ ὑπερώνυμος, οὐδ᾽ ἀπερινόητος τοῖς πᾶσιν, εἰ καὶ κατ᾽ εἰκόνα τοῦ θεοῦ γεγόναμεν, ἐπεὶ μηδ᾽ ἀπαράλλακτός ἐςιν εἰκὼν, ἡ μέντοι τοῦ πατρὸς ἀπαράλλακτος εἰκὼν, ὁ τοῦ θεοῦ μονογενὴς υἱός. ὡς δ᾽ αὔτως καὶ τὸ πνεῦμα τοῦ θεοῦ, πάνθ᾽ ὅσα ὁ πατὴρ. οὐκοῦν καὶ τὰς αὐτὰς ἀπαραλλάκτως ἔχει ἐνεργείας. ἀλλ᾽ οὐκ αὐτὸς, ὡς ὁ τῶν κακοφρόνων τούτων λόγος, τοιαύτη ἐνέργειά ἐςι, ἀλλὰ κατ᾽ αὐτὰς καὶ οὗτος ἀναλόγως ἑκάςῳ τῶν ὄντων μετεχόμενος κατ᾽ οὐσίαν ἀμέθεκτός ἐςιν. εἰ γὰρ ὁ ἀνθρώπινος νοῦς κατὰ τὸν θεηγόρον Νύσσης φάναι Γρηγόριον, διὰ πολλῶν ἐπισημῶν τε καὶ ἐπιτηδευμάτων καὶ ὀνομάτων τῶν περὶ αὐτὴν λεγομένων, οὐδὲν εἰς τὴν ἁπλότητα παραβλάπτεται, πῶς ἄν τις οἰηθείη τὸν θεὸν, εἰ σοφὸς καὶ δίκαιος καὶ ἀγαθὸς καὶ ἀΐδιος καὶ πάντα τὰ θεοπρεπῆ καλεῖται ὀνόματα, εἰ μὴ μία πᾶσι νομισθείη τοῖς ὀνόμασι σημασία, ἢ πολυμερῆ γίνεσθαι ἢ ἐκ μετουσίας τούτων τὸ τέλειον αὐτῷ συναγείρειν τῆς φύσεως. ὁ αὐτὸς δὲ καὶ μικρὸν ἔπειτα τοῦ λόγου προϊὼν, πάντα δέ φησι τὰ ὀνόματα, ὧν ἡ σημασία θέσεως τινὸς ἐςὶν ἐνδεικτικὴ καὶ ὑπάρξεως, οὐκ αὐτῆς τῆς θείας φύσεως. ἀλλὰ τῶν περὶ αὐτὴν εὐσεβῶς νοουμένων τὴν ἔνδειξιν ἔχει. πῶς ἄρα κοινωνήσαιμεν ἂν τοῖς κακοσχόλοις τούτοις, κτιςὰ

φρονοῦσι

φρονοῦσι καὶ διδάσκȣσι πάντα τὰ περὶ θεόν. καὶ τὰς ἀκτίςους καὶ θείας ἐνεργείας οὐ κοινὰς εἶναι τοῖς τρισὶ προσκυνητοῖς προσώποις ὡς θεωρουμένας περὶ τὴν ȣ̓σίαν, ἀλλὰ τὸν υἱὸν εἶναι καὶ τὸ πνεῦμα τὸ ἅγιον. καίτοι τȣ̃ αὐτȣ̃ θεοβρήμονος ἐν τῷ αὐτῷ πρὸς Εὐνόμιον δευτέρῳ λόγῳ φάσκοντος, πᾶν ὅτι πέρ ἐςι περὶ τὸν θεὸν νοȣ́μενον, τοῦτο πρὸ τῆς τȣ̃ κόσμου συςάσεως ἦν, ἀλλ᾽ ὀνομάζεσθαι τοῦτο φαμὲν, μετὰ τὸ γενέσθαι τὸν ὀνομάζοντα. καὶ μὲν δὴ ὡς ὁ υἱός τε καὶ τὸ πνεῦμα τȣ̃ θεȣ̃, δωρεά τε καὶ χάρις. καὶ τοιαύτη ἐνέργεια κατ᾽ ȣ̓σίαν ἥκιςά ἐςι, δείκνυσιν ὁ τὴν ἐκφαντορικὴν τῶν ὅλων ἑαυτῆς ἀγαθωτάτων προνοιῶν ἐπικαλȣ́μενος τριάδα καὶ χρῆναι διδάσκων ἡμᾶς ταῖς εὐχαῖς αὐτῇ προσάγεσθαι καὶ πλησιάζειν. ὡς ἐν τούτῳ μυεῖσθαι τὰ πανάγαθα δῶρα τὰ περὶ αὐτὴν ἱδρυμένα. τίς γὰρ ἂν τῶν νοῦν ἐχόντων ȣ̓σίαν ἀμέθεκτον φαίη τȣ̃ θεȣ̃, τὴν ἐκείνȣ πρόνοιαν, ἢ κτιςὴν, ὅτι μὴ ȣ̓σία. τίς δὲ τὰ περὶ τὴν ὑπεράγαθον τριάδα πανάγαθα δῶρα ἱδρυμένα τὸν υἱὸν εἶναι δοξάσειε καὶ τὸ πνεῦμα τȣ̃ πατρός; ἢ τίς ταῦτα τοῖς κτίσμασιν ἐναρίθμια ποιήσειεν, ὅτι τούτων ὁ υἱός τε καὶ τὸ πνεῦμα τȣ̃ πατρὸς ὑπέρκειται, καθὰ καὶ ὁ πατὴρ, ὡς ὑπὲρ πᾶν ὄνομα καὶ πᾶσαν μετοχὴν, καὶ ὡς δοτήρ τε καὶ αἴτιος τῶν ὑπερφυῶν τούτων δωρεῶν.

ΘΕΟΤ. Τοῦτον ἄρα τὸν τρόπον, ὦ σοφὲ Θεόφανες, καὶ τὸ πρόσωπον τȣ̃ θεȣ̃, νῦν μὲν ὁρᾶσθαι ὑπὸ τῶν ἀξίων διὰ τῆς ἐνθέȣ καταγγέλλεται γραφῆς. καὶ οἱ ἄγγελοι γὰρ ἡμῶν βλέπȣσι τὸ πρόσωπον τȣ̃ πατρὸς ἡμῶν τȣ̃ ἐν τοῖς ȣ̓ρανοῖς. ὧν καὶ Μωυσῆς ἐντυχεῖν ἠξίωται, καὶ ἡμεῖς δὲ τὴν πρὸς πρόσωπον θέαν ἐν ἐπαγγελίαις ἔχομεν, νῦν δ᾽ ἀθέατον πάντῃ τὲ καὶ πᾶσι καὶ ἀεί· ȣ̓δεὶς γάρ φησιν αὖθις ὁ αὐτὸς τῷ αὐτῷ Μωσῇ θεὸς, ὄψεται τὸ πρόσωπόν μȣ καὶ ζήσεται.

ΘΕΟΦ. Ἥκιςά γε ἕτερον. καὶ γὰρ θεὸν ȣ̓δεὶς ἑώρακέ ποτε. καὶ οἱ καθαροὶ τῇ καρδίᾳ τὸν θεὸν ὁρῶσιν, ὡς ὁ μονογενὴς υἱὸς τȣ̃ θεȣ̃ ἐφανέρωσεν ἡμῖν. αὐτὸν ἐκεῖνον, ἀόρατον κατὰ τὴν ȣ̓σίαν, ὁρατὸν καὶ μάλιςα τοῖς θεοειδέσι γινομένοις κατ᾽ ἐνέργειαν καὶ χάριν. ἀλλ᾽ οὐκ ἄλλον ἀντ᾽ αὐτȣ̃, καὶ ταῦτα κτίσμα, ὡς Βαρλαὰμ καὶ Ἀκίνδυνος κακοδοξότατά φασιν. οὕτω γὰρ καὶ τὸ πανταχȣ̃ παρὸν καὶ ἀόρατον καὶ ἀμερὲς καὶ τῆς ἑαυτοῦ ἑνότητος ἐχόμενον ἀνεκφοιτήτως πνεῦμα, ἐκχεῖται καὶ ἔρχεται καὶ πέμπεται καὶ ἐνοικίζεται, καὶ ταῦτ᾽ ȣ̓ πᾶσι, καὶ ὁρᾶται καὶ μετρεῖται, καὶ μερίζεται, λαμβανόμενόν τε καὶ διδόμενον. οὕτω γὰρ καὶ ὁ Χρυσόςομος θεολόγος, ὡς ἀνωτέρω ἔφημεν, τȣ̃ βαπτι-

ςȣ̃

ςȣ λέγοντος ἀκηκοὼς περὶ τȣ κυρίȣ ἡμῶν Ἰησȣ Χριςȣ, ὡς ȣκ ἐκ μέτρȣ ἔλαβε τὸ πνεῦμα, πνεῦμα, φησιν, ἐνταῦθα τὴν ἐνέργειαν λέγει, αὕτη γάρ ἐςιν ἡ μεριζομένη. καὶ ὁ μέγας Βασίλειος λέγων ἐκ τῶν ποιημάτων τὸν θεὸν γινώσκεσθαι, δυνάμεώς, φησι, καὶ σοφίας καὶ τέχνης ἀλλ' ȣχὶ τῆς ȣσίας αὐτῆς ἐνδεικτικὰ ἐςὶ τὰ ποιήματα. ὥςε τὸν θεὸν ἐκεῖ γινωσκόμενον κατὰ τὴν δύναμιν φησιν οὐ κατὰ τὴν ȣσίαν. οἱ δὲ μικρογνώμονες οὗτοι, οὗ ἂν ἀκούσωσι τὸν θεὸν, ἢ τὸ πνεῦμα τὸ ἅγιον ἐπιφαινόμενον ἢ μετεχόμενον ἢ ἐρχόμενον καὶ μονὴν ποιȣμενον, ἢ κτίσμα τȣτο λέγȣσιν, ἢ τὴν ȣσίαν εἶναι διαβεβαιȣνται τȣ θεȣ. καὶ τοὺς μὴ κατ' αὐτοὺς βλασφημεῖν ἀνεχομένους, διθεΐᾳ περιπίπτειν λέγȣσι. μηδ' ἐκεῖνο ἐπὶ νοῦν λαμβάνοντες, οἱ τάλανες, ὡς ἐπὶ τὴν μόνην μητέρα καὶ παρθένον καὶ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον παραγέγονε καὶ ὁ υἱός. ἀλλ' ὁ μὲν καθ' ὑπόςασιν· τὸ δὲ, κατὰ μόνην τὴν ἐνέργειαν. διὸ καὶ ὁ υἱὸς μόνος ἀλλ' ȣχὶ καὶ τὸ πνεῦμα ἐνηνθρώπησε· καὶ τοίνυν ὅταν λέγωμεν θεὸν ἢ πνεῦμα ἢ θεότητα, οὐκ ἀεὶ νοοῦμεν τὸ αὐτό. τὴν θείαν ȣσίαν δηλαδὴ ἤ τινα τῶν τῆς ἁγίας τριάδος ἰδίως ὑποςάσεων. ἢ τὴν κοινὴν ἐνέργειαν αὐτῶν, ἀλλ' ἐςὶ μὲν ὅτε πάντα· ἐςὶ δ' ὅτε πλείω· ἐςὶ δ' ὅτε τούτων ἕν. ὅταν γὰρ ὁ μέγας Διονύσιος θεότητα θεογόνον καὶ πηγαίαν φῆ θεότητα, ȣ συνορῶμεν τȣτοις οὕτω μόνην προσαγορεύοντα τὴν πατρικὴν ὑπόςασιν;

ΘΕΟΥΤ. Δι' αὐτȣ μὲν οὖν καὶ τῶν Λατίνων ῥᾷον ἢ ἐκεῖνοι αἱρȣσι, κατασπῶμεν τὴν ὀφρῦν, οἷς ἐοίκασιν ὁμοφρονεῖν οἱ διὰ τὴν ὁμωνυμίαν οὗτοι πάντα φύροντες, μᾶλλον δὲ συναλείφοντες εἰς ἕν.

ΘΕΟΦ. Ὅτε δ' ἀλλαχȣ πάλιν ὁ αὐτὸς φησὶν, ἡ θεαρχικὴ μακαριότης, ἡ φύσει θεότης, ἡ ἀρχὴ τῆς θεώσεως, ἐξ ἧς τὸ θεȣσθαι τοῖς θεȣμένοις ἐςὶν, οὐ τὴν τρισυπόςατόν φησιν ȣσίαν;

ΘΕΟΥΤ. Καὶ γὰρ ὁ πατὴρ δι' υἱοῦ ἐν ἁγίῳ πνεύματι θεοῖ τȣς θεȣμένȣς.

ΘΕΟΦ. Ὅτε δὲ αὐτὴν τὴν θέωσιν ἀρχὴν εἶναι λέγει τοῖς θεȣμένοις τȣ θεȣσθαι καὶ θεότητα καλεῖ καὶ θεαρχίαν καὶ ἀγαθαρχίαν ὡς δωρεὰν θεοποιὸν, ἧς καὶ ὑπερκεῖσθαι λέγει τὸν θεὸν, ὡς πάσης ἀρχῆς ὑπεράρχιον, ȣ τὴν θεοοργὸν μόνην ἐνέργειαν καὶ χάριν ὀνομάζει θεότητα;

ΘΕΟΥΤ. Πῶς γὰρ καὶ ὑπερκείμενος εἴη ταύτης ὁ ἐν τρισὶν ὑποςάσεσι προσκυνȣμενος θεὸς, εἰ μὴ μόνη αὕτη εἴη;

ΘΕΟΦ. Κἀκεῖνο μέντοι δεῖ προσδιανοήσασθαι ἐνταῦθα.

ΘΕΟΥΤ.

ΘΕΟΤ. Τὸ ποῖον;

ΘΕΟΦ. Ὡς εἰ καὶ μήθ' ὑπόςασις, μήτ' ἐσία θεία ἡ θεότης αὕτη πέφυκεν, ἀλλ' οὐδὲν ἧττον ἄκτιςός ἐςι καὶ ἀΐδιος, ὡς δύναμις θεοπρεπὴς περὶ τὸν θεὸν ουσα καὶ πρὸ τῆς τῦ κόσμου συςάσεως. ἐπεὶ δὲ καὶ αἰτία καὶ ἀρχή ἐςι τῶν θεκμένων πάντων, ὑπ' αὐτῆς βελτιεμένων δήπουθεν, ὡς ὑπὲρ φύσιν γινομένων, ἡ δὲ ἀρχὴ καὶ τὸ αἴτιον, τῶν ἐξ αὐτῆς οὕτω διέςηκεν ἐπὶ τὸ κρεῖττον ἀναγκαίως, καὶ τὸ βελτιοῦν τῶν βελτιουμένων βέλτιον, καὶ τὸ ὑπὲρ φύσιν ἕτερα ποιοῦν, αὐτὸ καθ' αὐτὸ ὑπερφυές, θεοῦνται δὲ καὶ ἄγγελοι, τὸ καὶ τῶν ἀγγέλων κρεῖττον, καὶ ὑπὲρ τὴν φύσιν ὂν αὐτῶν καὶ καθ' αὐτὸ ὑπερφυὲς ὑπάρχον, πῶς ἂν εἴη κτίσμα.

ΘΕΟΤ. Καὶ αὐτός γε μὴν οὕτως ἔχω περὶ τούτου. πῶς γὰρ ἄν τι τῶν κτιςῶν καὶ θεαρχία καὶ ἀγαθαρχία καὶ θεοποιὸς κληθείη δωρεά. μίμησιν μέντοι καὶ θεομιμησίαν τὴν θείαν ἔλλαμψιν, ὁ μέγας οὗτος εἴωθε καλεῖν, ὡς ἐξομοιῦσαν πρὸς θεόν. ἡ μὲν δὴ καὶ σχέσιν, ὡς ἕνωσιν τε καὶ σύνδεσμον ὑπερφυᾶ, θεῦ καὶ τῶν εὖ ἐχόντων λογικῶν.

ΘΕΟΦ. Ἀλλὰ γὰρ ὅτε πάλιν οὗτος θεότητα φησὶ φαμέν, ἀρχικῶς μὲν καὶ θεικῶς καὶ αἰτιατικῶς τὴν μίαν ὑπερούσιον ἀρχὴν καὶ αἰτίαν, μεθεκτῶς δὲ τὴν ἐκ θεῦ τοῦ ἀμεθέκτου προϊοῦσαν δύναμιν τὴν αὐτοθέωσιν, ἆρ' οὐκ ἄμφω, τήν τε θείαν φύσιν καὶ τὴν ἐνέργειαν, ὁμοίως δῆλός ἐςι καλῶν; καὶ μὴν ἐδ' ἂν καινόν τι δόξαι τῷ ἐπιςήσαντι καλῶς. ὅτε γὰρ ἐλέγομεν ὡς τὴν πρώην ὁμιλίαν διεκπνεῦσαι παρῆκας τῆς ψυχῆς ἀμελέτητον ἀφείς, τίνα ποτ' ἐλέγομεν ψυχὴν, οὐχὶ τὴν μνήμην; αὕτη γὰρ ἡ μὴ τὸ σκέμμα παρακατασχῦσα μόνιμον, ἣν διαφύγῃ. προτρεπόμενοι δὲ φοβεῖσθαι μᾶλλον τὸν καὶ ψυχὴν καὶ σῶμα δυνάμενον ἀπολέσαι ἐν γεέννῃ, τί ποτε φαμὲν ψυχὴν, οὐκ αὐτὴν τὴν ἐσίαν τῆς ψυχῆς;

ΘΕΟΤ. Ταῦθ' οὕτως ἐκληπτέον καὶ ἀποδοτέον. οὐκ ἐκ τοῦ ἀκολέθε μόνον, ἀλλὰ καὶ διὰ τῆς πνευματοκινήτου τῶν θεολόγων δυνάμεως ἀποδεικνῦσιν. ἀλλ' ἐπειδήπερ ἡ οὐσιοποιὸς δύναμις φυσική ἐςιν ἐνέργεια θεῦ, φύσει γάρ ἐςι δημιουργικὸν τὸ θεῖον, τῇ δὲ ταύτης μετοχῇ πάνθ' ὅσα γέγονεν ἐςὶν, ἆρα πάντα μετέχει τῶν φυσικῶν τῦ θεῦ δυνάμεων τὲ καὶ ἐνεργειῶν;

ΘΕΟΦ. Καὶ γὰρ οὐ μόνης τῆς δημιουργικῆς ἐνεργείας τῦ θεῦ, ἀλλὰ καὶ τῆς αὐτοῦ προνοίας ἅπαντα μετέχει. ἢ γάρ;

ΘΕΟΤ. Πῶς γὰρ ἂν καὶ συνίςαντο χωρὶς αὐτῆς.

ΘΕΟΦ. Ἡ τοίνυν πρόνοια φυσική ἐστι καὶ οὐσιώδης ἐνέργεια θεοῦ. Φησὶ γὰρ ὁ μέγας Ἀθανάσιος, οὐ κατὰ ἄλλην καὶ ἄλλην πρόνοιαν ὁ πατὴρ καὶ ὁ υἱὸς ἐργάζεται, ἀλλὰ κατὰ μίαν καὶ τὴν αὐτὴν οὐσιώδη τῆς θεότητος ἐνέργειαν. μετέχουσιν οὐκοῦν πάντα τῆς δημιουργικῆς τε καὶ προνοητικῆς τοῦ θεοῦ δυνάμεως, ἀλλ᾽ ὡς ἡ οἰκία τῆς τοῦ οἰκοδόμου διανοίας, καὶ τῆς τοῦ οἰκοδεσπότου δυνατῆς προνοίας, εἰ ἄρα μέλλει συνεστάναι. τὰ δὲ λογικὰ καὶ ὁρῶσιν ἐκ τῶν κτισμάτων, λογισμῷ μέντοι τὴν τῷ κτιστῇ φύσει προσοῦσαν ἀγαθότητα καὶ δύναμιν. μόνοι δὲ καὶ μετέχουσι καὶ ὁρῶσιν οἱ ἅγιοι κυρίως, διὰ τῆς τοῦ πνεύματος μεθέξεως θεοειδεῖς γεγονότες, καὶ θεοειδεῖ δυνάμει λαμπρότητα θεοῦ ἰδόντες καὶ παθόντες καὶ ὑπερφυοῦς ἀγλαΐας πληρωθέντες, καὶ αὐτοὶ δι᾽ αὐτῆς ἀποῤῥήτως αἰγλήεντες ἀναφανέντες. τὸ γὰρ πνεῦμα τὸ ἅγιον κατὰ τὸν μέγαν φάναι Βασίλειον, πάντα μὲν πληροῖ τῇ δυνάμει. μόνοις δέ ἐστι μεθεκτὸν τοῖς ἀξίοις καὶ ἀχώρητον μὲν τῷ κόσμῳ, τοῖς ἁγίοις δὲ μόνοις διὰ καθαρότητα καρδίας θεωρητόν. καὶ πᾶσι μὲν πάρεστιν, ἀλλὰ τοῖς μὲν καθαρεύουσι τῶν παθῶν, τὴν ἰδίαν ἐμφαίνει δύναμιν. τοῖς δὲ τὸ ἡγεμονικὸν συγκεχυμένον ἔχουσιν ἀπὸ τῶν τῆς ἁμαρτίας σπίλων, οὐκέτι. ὥσπερ γὰρ αἱ τῶν προσώπων ἐμφάσεις οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ᾽ ἐν ταῖς λειότητά τινα καὶ διαφάνειαν κεκτημέναις, οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ πνεύματος ἐνέργεια, ἀλλ᾽ ἐν ταῖς μηδὲν σκολιὸν ἐχούσαις μηδὲ στραγγαλιῶδες. ὁρᾷς ὡς πᾶσι μὲν πάρεστι τὸ ἅγιον πνεῦμα κατ᾽ οὐσίαν, εἰ δὲ βούλει καὶ κατὰ δύναμίν τε καὶ ἐνέργειαν, μετέχεται δὲ καὶ ἐπιφαίνεται κατὰ μὲν τὴν οὐσίαν οὐδενὶ, κατὰ δὲ τὴν ἐνέργειαν, μόνοις τοῖς τὸν ἀπὸ τῶν πονηρῶν παθῶν ἀποθεμένοις σπίλον.

ΘΕΟΤ. Ὄντως σφᾶς αὐτοὺς παρακρούονταί τε καὶ κατασοφίζονται, πάντες οἱ ἀντιλέγειν σπεύδοντες ἡμῖν. ἀμφοτέρων γὰρ ἐν τοῖς ἁγιογράφοις δέλτοις σαφῶς ὑπαγορευομένων, αὐτοὶ νῦν μὲν τοῦ ἑνὸς ὡς αὐτοῦ μόνου εἰρημένου δῆθεν ὑπεραγωνίζονται. νῦν δὲ χωροῦσι κατὰ τοῦ ἑτέρου, ὡς μὴ εἰρημένου καὶ οὐδ᾽ ἑκατέρου ὡρισμένως. ὡς εἶναι τοὺς αὐτοὺς τὸ αὐτὸ κατασκευάζοντας καὶ ἀναιροῦντας. ὅτε μὲν γὰρ μεθεκτὴν ἅπασι τὴν ὑπερουσιότητα ἐκείνην λέγουσιν, ἐξ ἀνάγκης ἀκτίστου διδόασι μετέχειν πάντας τοὺς μετέχοντας. ὅτε δὲ κτιστὴν τὴν χάριν οὐκ ἀκτίστου, οὐδ᾽ αὐτοὺς ἐκείνους τοὺς ὑπερκοσμίους.

ΘΕΟΦ. Τὴν κατὰ τὸ ὄνομα μόνον ἀντίθεσιν, ὦ βέλτιστε, ζητοῦσιν, οὐ τὴν κατὰ τὸ ὑπὸ τοῦ ὀνόματος δηλούμενον.

νον. εἰ δέ που καὶ πρὸς τὸ σημαινόμενον ἐπιςρέψωσι τὸν νοῦν, οὐ τὰ εἴδη τῶν σημαινομένων διαιροῦσιν, ὡς ἀπολαβόντες ἀκριβῶς ἐφίκοντο, οὗ ἕνεκα ἡ ζήτησις. ταῦτ᾽ ἄρα καὶ αὐτοὶ ἑαυτοῖς οὐχ ἑκόντες εἶναι περιπίπτουσι. καθάπερ ἐν κυβείᾳ τῆς διανοίας σφίσι καὶ τῶν λόγων κυλινδουμένων τὲ καὶ μεταῤῥιπτεμένων καὶ ἀεὶ παραφχινόντων ἑτεροῖα. τοῦτο δέ μοι δοκοῦσι καὶ αὐτοὶ συνιδόντες οἱ τὰ τε Βαρλαὰμ ἐπεκδικοῦντες σαφῆ προτιθέναι τὰ ὑπ᾽ αὐτῶν καὶ διὰ γραμμάτων κρατυνόμενα, μηκέτ᾽ ἔπειτα τολμᾶν. οὐ γὰρ ἂν ὑπολογίσαιντο τὴν συνοδικὴν ἀπόφασιν, ἣ μὴ τοῖς γράφουσι μόνον, ἀλλὰ καὶ τοῖς λέγουσιν ἐπήρτηται, καὶ τούτων ἀμφοτέροις, αὐτοῖς τοῖς κινοῦσι καὶ κατηγοροῦσιν, ἀλλ᾽ οὐχ ἡμῖν τοῖς ἀναγκαίως πρὸς ἀπολογίαν ἐρχομένοις.

ΘΕΟΤ. Ἀλλ᾽ ἐπειδὴ σύ, Θεόφανες, δικαίως καὶ καλῶς ἀπολογούμενος τὸ τῆς οὐσίας ὄνομα διεῖλες, μᾶλλον δὲ ἀπέδειξας διττῶς παρὰ τῆς γραφῆς ἐκλαμβανόμενον, νῦν μὲν ἐπὶ τῆς ἀμεθέκτου ὑπερουσιότητος ἐκείνης, νῦν δ᾽ ἐπὶ τῶν φυσικῶν τὲ καὶ οὐσιωδῶν, ἃ ἐςι τοῖς ἁγίοις μόνοις κυρίως μεθεκτά, κατ᾽ αὐτὰ γὰρ θεοῦ καὶ ἀνθρώπων ἕνωσις τελεῖται, ἆρ᾽ ἔχεις αὐτοὺς τοὺς ἁγίους συμμαρτυροῦντάς σοι τῷ λόγῳ δεῖξαι, ὡς αὐτῶν τῶν φυσικῶν τοῦ θεοῦ μεταλαγχάνουσι καὶ δι᾽ αὐτῶν αὐτὸν ὁρῶσιν, ἀλλ᾽ οὐκ ἀπὸ τῶν κτισμάτων μόνον ὡς ἡμεῖς;

ΘΕΟΦ. Καὶ τίς ἂν τοῦτ᾽ εἰπεῖν ἐτόλμησε μὴ τῶν πείρᾳ μαθόντων ἐξειπόντων. ὁ γὰρ πείρᾳ μαθών, οὗτος οἶδε μόνος τὰς ἐνεργείας τοῦ πνεύματος.

ΘΕΟΤ. Τίς οὖν ὁ ἐξειπών;

ΘΕΟΦ. Ἅπαντες οὐ λόγοις μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς πράγμασι καὶ θαύμασιν, ὅσοι μέντοι τῶν ἐνθένδε μεταςάντων, διὰ τῶν ἐξενηνεγμένων σφίσιν ἐνθέων συγγραμμάτων ἔτι σύνεισιν ἡμῖν, οὐδὲ μέχρι νῦν ἀνῆκαν, οὐδ᾽ ἀνήσουσιν ἀπαγγέλλοντες τρανῶς.

ΘΕΟΤ. Τρεῖς ἔμοιγε πρὸς βεβαίωσιν ἀποχρήσουσι, Θεόφανες. ἐπιδείκνυ τοίνυν μηδὲν ἀναβαλλόμενος.

ΘΕΟΦ. Δείκνυμι δή. καὶ γὰρ ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης, τὸ λάμψαν ἐπ᾽ ὄρους ἀπὸ τοῦ σωτῆρος φῶς, ὃ ἰδόντες Πέτρος καὶ οἱ τῆς βροντῆς υἱοὶ τὰ προοίμια τῆς μελλούσης αὐτοῦ παρουσίας, κατὰ τὸν μέγαν Βασίλειον, ὀφθαλμοῖς λαβεῖν κατηξιώθησαν, οὗ πλήρεις ἔσονται κατὰ τὸν μέγαν Διονύσιον πάντες οἱ Χριςοειδεῖς. καθ᾽ ὃ καὶ λάμψουσιν ὡς ὁ ἥλιος κατὰ τὸν μέγαν αὖθις Βασίλειον, ὃς κἂν τῷ παρόντι ψυχῶν ἁγίων φωτισμὸν προσείρηκεν αὐτό, τοῦτο τοίνυν φυσικὴν ἀκτῖνα τῆς θεότητος ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης

 εἶπεν.

εἶπεν· ὁ δὲ μελῳδὸς Κοσμᾶς, οὐσιώδη τοῦ λόγου τοῦ θεοῦ εὐπρέπειαν· κατὰ φύσιν δὲ τοῦτο ἔχειν τὸν θεὸν ὁ μέγας Ἀθανάσιος. ἀνελθὼν γάρ φησιν ὁ κύριος εἰς τὸν οὐρανὸν ἥξει ἐν δόξῃ φυσικῇ καὶ οὐκ ἐν χάριτι, ἐν τῇ ἑαυτοῦ θεότητι, ἐκλάμπων ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δόξαν τὴν ἀπόῤῥητον ὡς καὶ ἐπὶ τοῦ ὄρους ἔδειξεν ἀπὸ μέρους. ἔχεις ὁπόσους ἀποχρήσειν εἰς παράστασιν ἐνόμισας. ἡμεῖς δ' ἐπιδαψιλευσάμενοι τοὺς τῆς ἀληθείας αὐξήσομέν σοι μάρτυρας. φησὶ γὰρ ὁ θεῖος Μάξιμος· πάντα ὅσα ὁ θεὸς καὶ ὁ διὰ τῆς χάριτος τεθεωμένος ἔσται χωρὶς τῆς κατ' οὐσίαν ταυτότητος. καὶ ἀλλαχοῦ πάλιν· ἑτοίμους ὁ λόγος δι' ἐλπίδος καθίστησι τῇ παραδοχῇ τῆς τῶν ἀγαθῶν ἀρχετυπίας ψυχωθῆναι, καὶ γενέσθαι ζώσας εἰκόνας Χριστοῦ καὶ ταυτὸν αὐτῷ μᾶλλον κατὰ τὴν χάριν ἢ ἀφομοίωμα. ἐν δὲ τοῖς θεολογικοῖς κεφαλαίοις φανερῶς φησίν· ἡ τοῦ θεοῦ βασιλεία τῶν προσόντων τῷ θεῷ φυσικῶς ἀγαθῶν, κατὰ χάριν ἐστὶ μετάδοσις. ὁ δὲ ἅγιος Κύριλλος τὸ τοῦ κυρίου προενεγκὼν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, ἑαυτοῦ τὴν εἰρήνην ταύτην εἰπεῖν εἶναι, φησιν, ὡς ἴδιον ἀγαθὸν ἐνυπάρχον αὐτῷ. ἐν δὲ τῷ ιδ λόγῳ τῶν θησαυρῶν, ἐκεῖνο πάλιν προενεγκὼν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον, ὡς φύσει, φησὶ, προσοῦσαν αὐτῷ τὴν ζωὴν καὶ οὐσιωδῶς ὑπάρχουσαν δώσειν τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐπαγγέλλεται. προελθὼν γὰρ ἐκ τοῦ πατρὸς, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται. ἓν δὲ τῶν προσόντων τῷ πατρὶ καὶ ἡ ζωή. ὁρᾷς καὶ τοῖς ἀξίοις διδομένην τὴν τοιαύτην ζωήν; καὶ κατὰ φύσιν προσοῦσαν τῷ θεῷ, ἀλλ' οὐχὶ φύσιν οὖσαν; μία γὰρ ἡ θεία φύσις. ἡ δὲ τοιαύτη ζωὴ ἓν τῶν κατὰ φύσιν τῷ θεῷ προσόντων. καὶ ὡς κατὰ φύσιν οὖσα, ἄκτιστός ἐστι καὶ αὕτη. τῶν δὲ κατὰ φύσιν προσόντων τῷ θεῷ ταύτην ἓν εἰπὼν καὶ πολλὰ προσεῖναι κατὰ φύσιν τῷ θεῷ καὶ ὁμοίως ἄκτιστα ἐδήλωσε. διὸ καὶ περὶ τοῦ υἱοῦ φησὶ πάντα τὰ τοῦ πατρὸς κατὰ φύσιν ἐπάγεται. ποῦ οἱ ἀσυνέτως λέγοντες, ἓν ἐστι τὸ ἄκτιστον, οὐ τὸν θεὸν ἢ τὸ θεῖον λέγοντες ἁπλῶς, δηλονότι τήν τε θείαν φύσιν καὶ τὰς κατ' ἐκείνην ὑποστάσεις, τά τε φυσικὰ καὶ ὑποστατικὰ τῆς ἀνωτάτω τριάδος ἅπαντα, ἀλλὰ τὴν οὐσίαν μόνην τῶν κτιστῶν ἐξαίροντες. ὥσπερ ἂν εἰ τῷ μὲν ἡλίῳ μετεῖναι διεβεβαιοῦντο τῆς λαμπρότητος, πλήρεις δ' εἶναι σκότους τὰς περὶ αὐτὸν ἀκτῖνας, ἢ πολλοὺς ἡλίους, ἐπεὶ φῶς εἰσι καὶ αὗται.

ΘΕΟΥ. Δικαίως, ὦ Θεόφανες, ἐν μηδενὶ λόγῳ τιθέμενος τὸ ἀπαρέσκειν τοῖς πολλοῖς τοιαῦτα λέγων ὑπὲρ ἀληθείας οὐκ ἀνῆκας. πρέπειν γάρ σοι τὸν ἔπαινον οὐκ ἐξ ἀνθρώπων

θρώπων, ἀλλ' ἐκ τοῦ θεοῦ, νῦν τε καὶ εἰς τὸν ἔπειτα αἰῶνα, τῶν τοιούτων λόγων ἕνεκα.

ΘΕΟΦ. Τῷ θεῷ πρέπει αἴνεσις, ἀδελφὲ Θεότιμε, νῦν καὶ εἰς τοὺς αἰῶνας, τῷ δόντι λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν.

III.

Σχόλιον [1]) Θεοδώρου ἡγουμένου τῶν στουδίου.

Ὅτι γνήσιον τοῦ μεγάλου Βασιλείου τὸ παρὸν σύνταγμα, δῆλον μὲν καὶ ἀπ' αὐτοῦ τοῦ χαρακτῆρος τῆς ὑψηγορίας, τοῦ τε εἴδους τῆς φράσεως· δῆλον δὲ καὶ ἐκ τοῦ συνεμπίπτειν ταῖς τῶν ἄλλων ἀσκητικῶν ἐννοίαις τε καὶ λέξεσιν, ὡς μὴ δοκεῖν τι ἄλλο τῷ καὶ μικρὸν γοῦν ἐπεσκεμμένως ἀναγινώσκοντι, ἢ θάτερον ἐν θατέρῳ διεξέρχεσθαι. ὅτι δὲ ἐκεῖνα τοῦ πατρὸς, τίς ἀντερήσει ἢ ὅς τυφλώττοι κατὰ νοῦν ἐνεργούμενος τὴν κακίαν. οἶμαι γάρ τινας δριμυττομένους τῷ ἀκριβασμῷ τῆς διδασκαλίας, προσλαβόντας δὲ ἐπίκουρον τῆς αὐθαδείας τὸ εἰπεῖν τινὰ τῶν ἱστοριογράφων, παρά τισιν ἀμφιβάλλεσθαι, ἐῤῥιψοκινδύνως νόθα αὐτὰ φάναι. οἱ δ' αὐτοί μοι δοκοῦσι καὶ τὴν πρὸς Ἑβραίους ἐπιστολὴν, τήν τε Πέτρου δευτέραν, Ἰωάννου τε τὴν ἀποκάλυψιν, ἑτέρας τε καθολικὰς πρὸς συγγράμμασι τισι πατρικοῖς, ἐπειδὴ ὁμοίως ἀμφιβάλλονται, ἀμφιβάλλεσθαι. ἀλλ' εἰ τὸ δεύτερον ἀσεβὲς, πῶς οὐχὶ καὶ τὸ πρότερον, ἤδη ἀποδεδειγμένων παρὰ τῇ ἐκκλησίᾳ ἀμφοτέρων, καὶ οὐδαμῶς τοῦ ἀμφιβόλου χώραν ἔχοντος ἔτι. εἰ δὲ τὸν Θεολόγον μὴ ὑπομνηματίσαι φήσωσιν, ἢ ἐπιπολαίως ἀνέγνων, ἢ συνιέντες κακουργοῦσι. νομοθεσίαι γὰρ μοναστῶν, ἡνίκα φησὶν, ἔγγραφοί τε καὶ ἄγραφοι, τί ἄλλο, ἢ πάντως γε ταῦτα δηλοποιεῖται. ἀπόδειξις δὲ καὶ ἐξ ἑτέρας θεωρίας. ὃ γὰρ λέγει Βασίλειος

1) Legitur hoc scholium in tribus Codd. post Basilii M. ascetica. Primus est bibliothecae SS. Synodi num. 241. scriptus anno 880. secundus num. 242. Sec. XI. aut X. tertius num. 243. Sec. X. aut IX. Notabile hoc scholium propter aliquot libros Noui Testamenti.

λειός ἐν τοῖς ἀσκητικοῖς τὰ ἱερὰ γράμματα παρὰ τῶν γονέων μεμαθηκέναι, φησὶ Γρηγόριος, τὰ μὲν δὴ πρῶτα παρὰ τῷ πατρὶ σπαργανοῦταί τε καὶ διαπλάττεται. εὕροι δ' ἄν τις καὶ τὸν ὅσιον Θεοδόσιον πρὸς τισιν ἄλλοις κεχρῆσθαι αὐτοῖς, ὡς δηλοῖ ὁ περὶ αὐτοῦ βίος. πρὸς τίνα δὲ αὖ ἄρα ἔμελλον ἐπερωτᾶν τὰ καθ' ἡμᾶς οἱ πάλαι ἐπερωτηκότες μονάζοντες, ἢ τίνος ἦν ἄλλε ἐν τηλικαύτῃ ἐξουσίᾳ νομοθετεῖν καὶ ὅλην ὑπόθεσιν σωτηρίας τὴν περὶ αὐτὰ πραγματείαν συςήσασθαι, ὡς μηδ' εἶναι ἄλλως σχεδὸν βαδίζειν ἀπταίςως τὴν κατὰ θεὸν πορείαν ἢ ἐκ τῆς κατ' αὐτὴν ὑφηγήσεως. ἢ τοίνυν δῶσιν ἰσόῤῥοπα ἕτερα ἀσκητικὰ ὡς ἐκείνων ὄντων τȣ̃ μεγάλȣ Βασιλείου, καίπερ οὐδ' οὕτως ἄλλος εἴη Βασίλειος, διὰ τὸ ἰσοδύναμον τȣ̃ πνεύματος καὶ τȣ̃ φθέγματος, ἢ μή, καὶ οὐ βȣλόμενοι πάντως καταδέξονται τοῦ μεγάλȣ Βασιλείου εἶναι. ἰςέον δὲ ὡς τὰ μὲν ἄλλα τὰ καθόλȣ ἀσκητικὰ εἴρηται· ταῦτα δὲ τὰ μερικά. ἔδει γὰρ τὸν λαμπτῆρα τȣ̃ κόσμȣ πρὸς ταῖς ἄλλαις αὐτȣ̃ ἀκτῖσι τῶν διδαγμάτων καταυγάζοντα τὴν ὑφ' ἥλιον πᾶσαν φωτίσαι ἡμᾶς κἀν τοῖςδε τοῖς δυσὶ συγγράμμασι.

IV.

Τοῦ ἁγίου[1]) Γρηγορίου τοῦ Θεολόγου ἐκ τοῦ[2]) πρὸς ἀςρονόμους λόγου.

Ὥσπερ οἱ ἰχθύες οἱ ἐν τοῖς ὕδασι ζῶντες διὰ τῶν ἐν μήτρᾳ συνεπικλυζομένων χυμῶν καὶ ὑδάτων εἰς ζωογονίαν ψυχαγωγοῦνται, μετὰ μέντοι τὸν τόκον οὐ κατ' ἐκπνοήν, ἀλλὰ κατ' εἰσπνοὴν καὶ ἀναπνοὴν τῆς ζωῆς τοῦ ἀέρος πᾶν ἔμψυχον ἀπολαύει ζῶον. καὶ δεσμὸς μὲν τῆς ψυχῆς ἐςὶ τὸ σῶμα, δεσμὸς δὲ τοῦ σώματός ἐςι τὸ αἷμα, μᾶλλον δὲ ἡ τοῦ αἵματος ἐνυπόςατος θέρμη, ἧς ἀποψυχωμένης ὁ τῆς ψυχῆς

1) Hoc fragmentum edidi ex Cod. Typograph. Synodalis in fol. num. XIII.

2) Seruatur in bibliothecis Mosquensibus magna copia Codd. Gregorii Nazianzeni. In nullo tamen huius orationis fit mentio.

ψυχῆς χωρισμὸς ἐκ τοῦ σώματος γίνεται, ἀποπηγνυμένου τοῦ αἵματος. ὅθεν τὰ αὐθωρὰ καὶ αὐθήμερα τῶν ἀνθρώπων νεκρὰ σώματα ἀνατεμνόμενα, χολὴν μὲν ἴσως ἔτι ἔχουσιν ἔνδον. ὡσαύτως καὶ φλέγμα καὶ χυμὸν, αἷμα δὲ οὐδαμῶς. κατ' ἔλλειψιν γὰρ, ὡς ἤδη εἶπον, τοῦ θερμοῦ στοιχείου ὁ τῆς ψυχῆς χωρισμὸς ἐκ τοῦ σώματος γίνεται, καὶ τούτου χάριν τὰ πλεῖστα τῶν βρεφῶν νυκτὶ καὶ τίκτονται, ἀποψυχωμένης τῆς μήτρας καὶ ἐξωθούσης διὰ τῆς νυκτερινῆς ψύξεως τὸ βρέφος. τὸν αὐτὸν δὴ τρόπον καὶ τὰ πλεῖστα τῶν σωμάτων νυκτὶ τελευτῶσιν, ὡς ἀντιδιωκομένης τῆς θέρμης τοῦ αἵματος καὶ δη . . . ούσης ὑπὸ ψύχους τῆς νυκτός. καὶ οὗτος μὲν ὁ λόγος τοῦ χωρισμοῦ τῶν ψυχῶν. ἀναγκαῖον δέ σε καὶ τὸν ἴδιον τῶν στοιχείων τοῦ σώματος χωρισμὸν ἐπίστασθαι, ἵνα καὶ τὸν τῆς ἀναστάσεως ἐν βεβαίῳ κατέχεις λόγον. ἀποχωριζομένης γὰρ τῆς ψυχῆς ἐκ τοῦ σώματος τὰ τέσσαρα στοιχεῖα ἐξ ὧν συνῆλθον . . . μων ἐν αὐτοῖς καὶ ἀποφέρονται. ἐν μὲν τῷ πυρὶ τὸ θερμὸν τοῦ αἵματος ὡς εἰς ἰδίαν παρακαταθήκην. ἐν δὲ τῷ ὕδατι τὸ ὑγρὸν. ἐν δὲ τῷ ἀέρι, τὸ ψυχρόν. λοιπὸν ἐν τῇ γῇ, ἤτοι τῷ τάφῳ, ἀπομένει τὸ ξηρὸν, ἤτοι ὁ χοῦς ὁ ληφθεὶς παρ' αὐτῆς ὑπὸ θεοῦ ἀπ' ἀρχῆς. τῷ οὖν καιρῷ τῆς ἀναστάσεως ὡς ἐκ παραθηκῶν τινῶν τῶν εἰρημένων τοῦ κόσμου μερῶν, ἀποδίδωσιν ἕκαστον στοιχεῖον πρὸς τὸν χοῦν τὸ ἴδιον, καὶ πάλιν συνίσταται τὸ σῶμα ἐκ τεσσάρων καὶ προστρέχει αὐτῷ ἡ ψυχὴ, καὶ οὕτως πάλιν ἀναμορφοῦται ὁ ἄνθρωπος. θελήσεις δὲ ὡς πάντα φιλολογοῦντα καὶ τοῦτο ἐν εἴδει ποιήσασθαι. φημὶ δὴ τῶν διὰ τοῦ σώματος ἐνεργειῶν τῆς ψυχῆς, μνήμης τέ φημι καὶ λόγου, ἐπιθυμίας καὶ θυμοῦ, γέλωτος τε καὶ πνοῆς, ποῦ ταῦτα, καὶ διὰ ποίων ἐνεργοῦνται μορίων [3]. αἱ μέντοι γὰρ μνῆμαι καὶ αἱ τούτων διακρίσεις διὰ τοῦ ἐγκεφάλου ὑπὸ τῆς ψυχῆς ἐνεργοῦνται. διόπερ πολλάκις κατὰ κεφαλῆς τινὲς καιρίαν πληγὴν λαβόντες, οὐκ ἀπέθανον μὲν παρ' αὐτὰ, ἔκφρονες δὲ καὶ ἀνούστατοι γέγοναν. διὰ τοῦτο μετάφρενα τὰ ὄπισθεν τῆς κεφαλῆς λέγονται. τὸ δὲ λογιστικὸν διὰ τῆς καρδίας ἐνεργεῖ ἡ ψυχή. τὸ δὲ ἀναπνευστικὸν διὰ τοῦ πνεύμονος· τὸ δὲ θυμικὸν διὰ τοῦ αἵματος. ὅθεν ἐστὶν ἰδέσθαι πολλάκις ἐν τοῖς θυμουμένοις κατὰ τὴν ὥραν τοῦ θυμοῦ, ὕφαιμον καὶ πυρακτούμενον τὸ εἶδος αὐτῶν. τὸ δὲ ἐπιθυμητικὸν ἡ ψυχὴ διὰ τοῦ ἥπατος ἐνεργεῖ. ὅθεν τοῦ ἥπατος ψυχομένου, δυσπευσίας εὐθέως παρακολουθούσης, ἀνορεκτεῖ ὁ ἄνθρωπος περὶ τὰς βρώσεις. ἐπίστησον γὰρ ὡς πάντα τὰ λίχνα ζῶα τέλειον ἥπατος ἔχουσιν. οἷον

3) Ad marg. μέρια λέγονται τὰ μέλη.

γίνονται χοῖροι καὶ ϛρουθίονες. γνώσῃ δὲ πάλιν τὸ μειδιακὸν διὰ τοῦ σπληνὸς ἐνεργεῖν τὴν ψυχὴν δυσεπιθύμως πρὸς τοὺς γέλωτας ἔχουσι. καὶ οἱ πολλάκις ὑπὸ πλειόνων γελώντων κατασυρόμενοι, σπληνίζεσθαί φασι. θελήσεις δὲ πάντως καὶ περὶ σπερμογόνων νοεῖν δι' οἵων καὶ πόθεν πρόεισι μορίων, οἵτινές εἰσιν οἱ νεφροί. ὅθεν καὶ οἱ περὶ τὰ τοιαῦτα δεινοὶ φιλοῦσιν εἰπεῖν τοὺς λίαν περὶ τὰς συνουσίας ἀφειδῶς ἔχοντας κατακάμπτεσθαι τῇ ὀδύνῃ τῶν νεφρῶν. μέντοιγε οὖν πεφιλολογότας εἰδέναι χρὴ τὸ τοῖς πολλοῖς ἄδηλον, ὡς ψυχὴ ἀπορραγεῖσα ἐκ τοῦ σώματος καὶ τῶν τοῦ σώματος ἀπηριθμημένων μορίων, καὶ γυμνὴ καθ' ἑαυτὴν ἐν ἀσαρκίᾳ καὶ ἀσ . . μασίᾳ οὖσα, οὔτε μέμνηται λοιπόν, οὔτε γεωργεῖ καθὼς μαρτυρεῖ ὁ εἰπών· ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογ. . (forte διαλογισμοὶ) αὐτοῦ. ζητήσεις δὲ, σοφὲ, κατὰ τὸν τόπον γενόμενος ἐπιμελῶς τὸν περὶ . . . χῆς (forte ψυχῆς) λόγον. τὸ διὰ [4]) τοῦτο καὶ τοῖς πολλοῖς ἄληπτον ὁμοῦ τε καὶ ἄλυτον . . . τὸ καὶ πῶς ψυχὴ ἀσώματος χωρίζεται τοῦ σώματος, καὶ ἐν τῷ τῆς ψυχῆς χωρισμῷ θάνατος οὐ γίνεται. εἷς γάρ ἐϛι καὶ μόνος ψυχῆς χωρισμὸς ἀπὸ σώματος. ἐπίϛησον δὲ μετὰ πάντων τοῦτο. πόθεν καὶ τίνος χάριν οἱ μὲν τῶν ἀνθρώπων φυσικῶς καὶ οὐκ ἔκ τινος ἀσκήσεως ἐξ αὐτῆς τῆς νεαρᾶς αὐτῶν νηπιότητος οἱ μὲν ὀξεῖς, οἱ δὲ πρᾳεῖς, οἱ δὲ φιλήδονοι, καὶ ἄλλοι σώφρονες, καὶ ἄλλοι ἥσυχοι, ἕτεροι δὲ ταραχώδεις. καὶ οἱ μὲν φρόνιμοι, οἱ δὲ ἀκεραιότεροι, καὶ οἱ μὲν δόλιοι, οἱ δὲ ἄφρονες, καὶ ἄλλα πλεῖϛα ἕλληνες [5]) φιλοσόφων ἀπαίδευτοι οἱ τὴν πολυθρύλλητον τῶν μετεώρων ἄϛρων ἀϛρολογίαν μυθευσάμενοι, τήν τε [6]) εἱμαρμένην δεινῶς δογματίσαντες τῇ διοικήσει τῶν ἄϛρων καὶ οὐ θεῷ [7]) πάμπαν τὰ καθ' ἡμᾶς οἰκίζεσθαι δεινῶς ἐδογμάτισαν. οἱ δὲ τὰς εὐσυνέτους καὶ θεοσδότους ἐπιϛημονικῶς καταλαβόντες ποιότητάς τε καὶ ἀληθεῖς οὐσιώδεις περὶ τῆς ἀνθρώπου φυσικῆς πρᾳότητός τε καὶ ὀξύτητος, ἀπαλότητός τε καὶ δεινότητος, σωφροσύνης τέ φημι καὶ ἀκολασίας καὶ τῶν τοιούτων ἁπάντων φυσικῶν πλεονεκτημάτων, εὐσόφως ἔφησαν οὕτως· ὡς οὐκ ἀφ' ἑνὸς καὶ μόνου τρόπου αἱ τοιαῦται τῇ φύσει φυσικαὶ συνεπιγίνονται καὶ συναποτίκτονται γνῶμαι καὶ καταϛάσεις, ἀλλὰ καὶ ἀπὸ δευτέρας τινὸς καὶ τρίτης καὶ τετάρτης καὶ πέμπτης καὶ ἕκτης καὶ ἑβδόμης αἰτίας.

4) Forte τὸ δὴ τοῦτο.
5) Sic omnia in Cod.
6) In marg. τύχην.
7) Sic Cod.

αἰτίας. καὶ πρῶτον μὲν ἀπὸ γονικῆς τῶν πατέρων ὁμοιότητος, δεύτερον ἐκ τῆς διαφορᾶς τῶν ϛοιχείων ἡμερινῆς καὶ νυκτερινῆς κινήσεως. γνῶθι γὰρ, ὦ Φιλόσοφε, ὡς τρεῖς κινήσεις ἐκ τῶν διαϛημάτων τῶν τριῶν ὡρῶν τοῖς ϛοιχείοις ὑπάρχουσιν. ἀπὸ μὲν πρώτης ὥρας ἡμερινῆς ἄχρι τρίτης κινουμένης τῆς χολῆς, ὡς μαρτυροῦσι πολλάκις ἕωθεν ὀφθαλμοί τινων . . . . . δέϛεροι ὁρώμενοι. ἀπὸ δὲ τρίτης ἕως ἕκτης σὺν τῇ θέρμῃ τοῦ ἡλίου . . . . . αἵματος κινήσεις καὶ ἀναζέσεις, ὀξύτεραι καὶ πικρότεραι . . . . . ότεραι δὲ μετὰ βρῶσιν. ἀπὸ δὲ ἕκτης ὥρας ἕως ἐνάτης, εἴωθεν ἡ τοῦ . . . ματος κίνησις γίνεσθαι. καὶ οὕτω λοιπὸν ἡ τοῦ χυμοῦ ἕως ἑσπέρας.

V.

AD [1]) PSALMVM I.

Ὡς τὸ ξύλον τὸ πεφυτευμένον] ὁ ἀγαθὸς ἐῤῥίζωται παρὰ τὰς διεξόδους τῶν θείων διδασκαλιῶν, ἀντὶ φύλλα ἀειθαλοῦς κεκτημένος τὰς ἀρετὰς, ἢ καὶ τὴν ἐλπίδα. κατὰ τὸν καιρὸν δὲ τῆς μισθαποδοσίας ἄγοι [2]) ἂν ἐν ἑαυτῷ τοὺς τῶν πόνων καρπούς.

ἐν κρίσει] ἡ ΚΡΙ'ΣΙΣ δηλοῖ καὶ τὴν [3]) δικαιολογίαν, ὡς τὸ. μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. καὶ τὴν δικαίωσιν, ὡς ἐνταῦθα. οὐδὲ γὰρ εὑρήσουσι τὴν τυχοῦσαν κατά τι δικαίωσιν οἱ ἀσεβεῖς. καὶ τὴν καταδίκην, ὡς τὸ, ἐγερθήσονται οἱ τὰ φαῦλα πράξαντες εἰς ἀνάϛασιν κρίσεως. καὶ τὴν δικαιοσύνην, ὡς τὸ, ποιοῦντα ΚΡΙΜΑ τοῖς ἀδικουμένοις. καὶ τὴν τοῦ δικαϛοῦ ψῆφόν τε καὶ ἀπόφασιν, ὡς τὸ πρόϛαγμα τῷ Ἰσραὴλ ἐϛι, καὶ κρῖμα τῷ θεῷ Ἰακώβ.

1) Forte Euthymius Zygabenus horum scholiorum auctor est v. Fabr. Bibl. Gr Vol. VII. p. 473. num. VII. et Montf. Bibl. Coislin. p. 58. Cod. XI. Certe graecitas non est indigna isto auctore. Magnam quoque similitudinem habet cum catena inedita in quatuor Euangelistas. Ab initio huius codicis legitur prologus, cuius initium, ψαλτήριον κυρίως ὄργανον, finis, ἀνέϛη γὰρ καὶ ζῇ εἰς τοὺς αἰῶνας. ἀμήν.

2) Vocabulum ἄγοι in codice erat dubium.

3) δικαιολογίαν videtur voluisse scribere v. Aristot. Rhet. I, 1, 23.

ἐν βουλῇ] ΒΟΥΛΗΝ λέγει τὴν συναγωγήν. ΔΙΚΑΙ'ΟΥΣ δὲ, τοὺς ἁπλῶς ἐναρέτους. ὥσπερ τοὺς ἁμαρτωλοὺς 'ΑΔΙΚΟΥΣ φησὶν ἀλλαχοῦ.

ὅτι γινώσκει] τὸ "ΟΤΙ, ποῦ μὲν τῶν ψαλμῶν αἰτιολογικὸν εὑρίσκεται, ὡς ἐνταῦθα· ποῦ δὲ βεβαιωτικὸν, ἀντὶ τοῦ ὄντως· ποῦ δὲ διηγηματικὸν καὶ παρέλκον.

γινώσκει] οἰκειοῦται δηλονότι καὶ ἐπισκέπτεται καὶ τιμᾷ.

καὶ ὁδὸς] ἡ πρᾶξις τῶν πονηρῶν ἀφανίζεται, καθὼς φησὶ καὶ ὁ ἀπόστολος λέγων· ἔτινος τὸ ἔργον κατακαήσεται.

ad Psal. II.

Παρέστησαν] παρετάξαντο καὶ ἐπῆλθον.

ἐπιτοαυτὸ] εἰς ταυτὸν ὁμοῦ.

κατὰ τοῦ κυρίου] κατὰ τοῦ πατρὸς καὶ κατὰ τοῦ υἱοῦ, ὃν ὁ πατὴρ ἔχρισεν εἰς βασιλέα πάντων ἐθνῶν κατὰ τὸν τῆς οἰκονομίας λόγον. ὁ πολέμιος δὲ τῷ υἱῷ, πάντως καὶ τῷ πατρί.

διαῤῥήξωμεν] λείπει τὸ, λέγοντες. φησὶ γὰρ διὰ Ἱερεμίου πρὸς τὸν Ἰσραήλ· εἶπας, οὐ δουλεύσω σοι. δεσμοὺς γὰρ καὶ ζυγὸν, τὴν ὑποταγὴν καλεῖ.

τότε λαλήσει] ὁπότε ἤλεγχεν ὁ Χριστὸς τοὺς Ἰουδαίους λέγων· οὐαὶ ὑμῖν γραμματεῖς. ἢ ἐν τῇ Ῥωμαίων πολιορκίᾳ, ἢ κατὰ τὴν μέλλουσαν κρίσιν.

ἐγὼ δὲ] προσώπῳ Χριστοῦ ὁ λόγος κατὰ τὸ ἀνθρώπινον αὐτοῦ.

ἐπὶ Σιὼν] ἀπὸ τοῦ ὄρους τὴν Ἰουδαίαν ἐδήλωσεν, ἔνθα ἐδίδασκεν ὁ Χριστός.

εἶπε πρός με] κατὰ τὴν προαιώνιον γέννησιν.

ἐγὼ σήμερον] κατὰ τὴν ἐν σαρκὶ γέννησιν. οἰκειοῦται γὰρ καὶ ταύτην ὁ πατήρ.

αἴτησαι] αἰτεῖ καὶ λαμβάνει, ὡς ἄνθρωπος, ὁ Χριστός.

καὶ νῦν βασιλεῖς] τῇ ἐξουσίᾳ τῶν Ῥωμαίων. ἤγουν, διὰ τοῦτο. περιλαμβάνει δὲ καὶ τοὺς ὑπηκόους διὰ τῶν ἀρχόντων.

ἐν φόβῳ] τὴν πολλὴν αἰδὼ *) καὶ εὐλάβειαν, φόβον καὶ τρόμον φησὶν, ὃν φοβεῖται καὶ τρέμει τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ.

ἐξ ὁδοῦ δικαίας] ὁδὸν δικαίαν νῦν, τὸ τάγμα τῶν δικαίων φησίν.

ἐν τάχει] σφοδρῶς ἐν τῇ μελλούσῃ κρίσει.

ad

*) Haec interpretatio notari potest ad N. T. inprimisque ad Philipp. II, 12.

ad Psal. III.

Ψαλμὸς τῷ Δαβὶδ, ὁπότε] ἁρμόζει καὶ παντὶ πολεμουμένῳ παρ' ἐχθρῶν, εἴτε ὁρατῶν εἴτε ἀοράτων.

τί ἐπληθύνθησαν] τὸ ΤΙ', ἐ μᾶλλον ἐρωτηματικὸν, ἢ θαυμαςικὸν, ἀντὶ τοῦ λίαν.

τῇ ψυχῇ μου] περιφραςικῶς, ἀντὶ τοῦ ἐμοί.

σωτηρία] ἤτοι ὁ θεὸς αὐτοῦ ἐ σώσει αὐτὸν, ἐπεὶ ἥμαρτεν εἰς αὐτόν.

κεφαλήν μου] τὴν κατακαμπτομένην ταῖς συμφοραῖς.

Φωνῇ] Φωνὴν λέγει τὴν νοερὰν ἔντευξιν. ὄρος δὲ ἅγιον, τὸν ἐρανόν.

ἐκοιμήθην] ταῖς ἁμαρτίαις κεκάρωμαι· τῇ μετανοίᾳ ἐξέγηψα, ἀντιλήψει θεῦ. ἢ, τῇ μὲν ἀθυμίᾳ κατέπεσον ἀνενέργητος· ἀνέςην δὲ τῇ τοῦ κυρίου πεποιθὼς ἀντιλήψει.

ἀνάςα] ὁ τῇ μακροθυμίᾳ καθεύδειν δοκῶν, κινήθητι πρὸς ἐκδίκησιν. προλέγει δὲ καὶ τὴν ἀνάςασιν τοῦ Χριςοῦ.

ἐπάταξας] ἀντιχρονικῶς [5]), ἀντὶ τῦ πατάξεις.

τῦ κυρίε ἡ σωτηρία] παρὰ σοῦ, τοῦ κυρίου, ἡ σωτηρία μοι.

εὐλογία σου] ΕΥΛΟΓΙ'Α παρὰ θεῦ μὲν εἰς ἀνθρώπους ἡ χάρις· παρὰ δὲ ἀνθρώπων εἰς θεὸν, ἡ εὐφημία. παρὰ δὲ ἀνθρώπων εἰς ἀνθρώπους, ἡ ὑπὲρ τούτων εὐχή.

ad Psal. IV.

Εἰς τὸ τέλος] ἐπεὶ προφητεύει περί τινων τελευθησομένων ἐν ὑμῖν . . . . . . διὰ τὸ κηρύττειν τοῦ . . . τὰ θαυμάσια . . . . ἢ . . . . . τὸ τέλος, διὰ τὸ προφητεῦσαι τὴν ἐκ νεκρῶν ἀνάςασιν, ἥτις τοῦ μέλλοντος ἐςὶν αἰῶνος, ὃν οἴδαμεν τέλος τῦ παρόντος. ἢ διὰ τὸ περί τινων προειπεῖν ἁπλῶς, ἅπερ ὡς προφήτης ἠπίςατο ληψόμενα τέλος. . . . . ὑπὲρ τῆς Ἀβεσαλὼμ τυραννίδος. ἁρμόζει δὲ καὶ παντὶ ἀπαλλαγέντι κινδύνου.

ὁ θεὸς τῆς δικαιοσύνης μου] περιφραςικῶς, ὁ [6]) δικαιῶν με θεὸς, ὥσπερ καὶ ὁ θεὸς τῆς σωτηρίας μου, ὁ σώζων με θεός.

ἐν θλίψει] ςενοῖ μὲν ἡ θλίψις· σὺ δὲ ἐπλάτυνάς με ἐν αὐτῇ, μεγαλοψυχίαν μοι διδούς.

υἱοὶ ἀνθρώπων] περιφραςικῶς, ἀντὶ τοῦ ὦ ἄνθρωποι.

βαρυκαρ-

5) i. e. tempus pro tempore.

6) Ad has periphrases attendere debent tirones, ne risum debeant ineptis interpretationibus suis.

βαρυκαρδίους δὲ ὀνομάζει τοὺς ἔχοντας τὰς ψυχὰς, ὥσπερ εἰ βαρειας, νενευκυίας πρὸς γῆν.

ματαιότητα] μάταιον λέγεται τὸ ἀνυπόςατον, οὗ ὄνομα μὲν, ὕπαρξις δὲ ἐδαμῶς. τοιαύτη ἐςὶν καὶ ἡ πονηρία καὶ πᾶσα ἡ περὶ τὰ γήινα σπεδή.

καὶ γνῶτε] τὸ ΚΑΊ περισσόν.

ἐθαυμάςωσε] θαυμαζόμενον ἐποίησεν ὁ κύριος ἐμὲ τὸν ἀφοσιωμένον καὶ ἀνακείμενον αὐτῷ, τουτέςι τὸν ἐπ' αὐτῷ μόνῳ ἐλπίζοντα.

ὀργίζεσθε] ὀργή ἐςιν, ὄρεξις κακοποιήσεως. Φησὶν οὖν, κἂν ὀργισθῆτε, μὴ ἁμάρτητε κακοποιήσαντες, ἀλλ' ἅπερ ἐν ταῖς ψυχαῖς ὑμῶν κακῶς διαλογίζεσθε, ταῦτα κατὰ τὸν καιρὸν τῆς κοίτης καὶ τῆς ἀδείας κατανύγητε, τουτέςι, κολάσατε, κεντήθητε τὴν καρδίαν καὶ λυπήθητε, διότι οὕτω πλημμελῶς διενοήθητε, καὶ μεταμελήθητε.

θύσατε θυσίαν] ὡς θυσίαν προσάξατε τῷ θεῷ τὴν δικαιοσύνην, καὶ τὴν παρ' αὐτοῦ βοήθειαν ἀπεκδέχεσθε.

πολλοὶ λέγεσι] ὑπερβατῶς νοητέον, οἷον οἱ πολλοὶ καὶ χυδαῖοι λέγουσι, τίς δείξει ἡμῖν τὰ τῇ σαρκὶ ἀγαθά; καίτοι πάντων τῶν καρπῶν τῆς γῆς ἐνεπλήσθησαν οἱ ἀγνώμονες, ἀλλ' ἐγὼ οὐχ ἔτω φρονῶ. καὶ γὰρ ἐσημάνθη μοι ἡ φανέρωσις τῆς σῆς ἐπισκοπῆς καὶ προνοίας, ἐν ᾗ καὶ τὴν ἐμὴν ψυχὴν εὔφραναν. διὸ καὶ σὺν εἰρήνῃ ὁμοῦ τῇ τε τῶν λογισμῶν καὶ τῇ ἐξ ἐχθρῶν κοιμηθήσομαι τὸν διπλῦν ὕπνον. μεμονωμένον γάρ με τῶν πονηρῶν οἰκεῖν ἐποίησας· κοιμηθήσομαι δὲ ἐπ' ἐλπίδι σωτηρίας, τὸν φυσικὸν ὕπνον· τὸν δ' αὖ θάνατον, ἐπ' ἐλπίδι ἀναςάσεως.

ad Pſal. V.

Τῆς κληρονομέσης] κληρονομοῦσαν ὀνομάζει κοινῶς μὲν, τὴν τοῦ θεῦ ἐκκλησίαν, ἧς κλῆρος, ἃ ὀφθαλμὸς οὐκ [7]) οἶδεν· ἰδίως δὲ τὴν θεοφιλῶς ζῶσαν ψυχήν.

τοπρωΐ] τουτέςι ταχέως καὶ χωρὶς [8]) μελήσεως καὶ βραδυτῆτος.

παραςήσομαι] τῇ δι' ἐναρέτου πολιτείας ἐγγύτητι.

οὐχὶ θεὸς] διὰ τοὺς ψευδωνύμους θεοὺς τοῦτό φησιν, οὓς οἱ τελεταὶ [9]) τῆς πλάνης εἰσάγουσι χαίροντας πάσῃ κακίᾳ. ταύτην γὰρ ἀνομίαν ὠνόμασεν.

παροι-

7) Ita h. l. in codice reperi, non εἶδεν.
8) Imo μελλήσεως. Refertur autem hoc ſcholium ad prius τοπρωΐ.
9) Lego τελεςαί. v. Pollucis Onomaſt. Lib. I. p. 24. Habet hoc vocabulum Maximus Tyrius p. 116. edit. Cantabrig. 1703. in 8.

παροικήσει] παροίκισίν [10]) Φησι, τὴν ἐγγύτητα καὶ οἰκείωσιν.

εἰς τὸν οἶκόν σε] οἶκον καὶ ναὸν, τόν τ' ἐπίγειον νοητέον καὶ τὸν ἐράνιον, πρὸς ὃν ἐν Φόβῳ καὶ εὐλαβείᾳ ὁ θεοΦιλὴς προσκυνεῖ τῷ θεῷ.

ἐν τῇ δικαιοσύνῃ σου] ἐν τῷ νόμῳ σου, ἢ διὰ τοῦ υἱοῦ σε, ὅς ἐςιν αὐτοδικαιοσύνη, χειραγώγησόν με.

κατεύθυνον] ἐξομάλισόν μοι τὴν ἄγεσαν πρὸς σε, καὶ ἀπαρεγκλίτως [11]) ἀνύειν ταύτην εὐόδωσον διὰ τοὺς ἐπιβελεύοντας ἐχθροὺς καὶ τιθέντας μοι σκάνδαλα.

κρῖνον αὐτοὺς] καταδίκασον καὶ κατάκρινον.

ἀποπεσέτωσαν] ἀςοχησάτωσαν.

εἰς αἰῶνα] διηνεκῶς.

οἱ ἀγαπῶντες] οἱ Χριςιανοὶ γὰρ τοσοῦτον ἀγαπῶσι τὸ ὄνομα τοῦ Χριςοῦ, ὡς ἀπὸ μόνε τούτε θέλειν γνωρίζεσθαι.

σὺ εὐλογήσεις] δοξάσεις καὶ νῦν, καὶ ὅταν εἴποις, δεῦτε οἱ εὐλογημένοι.

ὅπλῳ] ὑπερβατῶς, ὡς ἐςεΦάνωσας ἡμᾶς, τετέςι λίαν περιεκύκλωσας ἡμᾶς ὅπλῳ καὶ ὀχυρώματι εὐδοκίας, ἤτοι ἀγαθῆς θελήσεως περὶ ἡμᾶς καὶ εὐεργεσίας σου, τετέςιν ἐσκέπασας ἡμᾶς κραταιῶς ἀπὸ πάσης βλάβης.

ad Pfal. VI.

Ὑπὲρ τῆς ὀγδόης] ἐνταῦθα ὑμνῶν τὸν θεὸν ὁ προΦήτης παρακαλεῖ ὑπὲρ τῆς ὀγδόης ἤτοι περὶ τῆς ὀγδόης, τουτέςι τοῦ μέλλοντος αἰῶνος. ἐ προσώπῳ δὲ μόνῳ ἑαυτοῦ, ἀλλὰ καὶ πάντων ἡμῶν προσάγει τὴν δέησιν τῷ κρῖναι τηνικαῦτα μέλλοντι τὰ πάντα θεῷ. ἐξέθετο δὲ τὸν ψαλμὸν πειρασμοῖς περισχεθεὶς ἐπενεχθεῖσιν αὐτῷ διά τινα πλημμελήματα.

τῷ θυμῷ] τὸ θεῖον ἀπαθὲς, ἀλλὰ ἡ ἀξία τῶν ἁμαρτημάτων ἡμῶν τιμωρία, θυμὸς θεε λέγεται καὶ ὀργή.

ἀσθενὴς] τὴν ψυχικὴν δηλονότι ἀσθένειαν.

τὰ ὀςᾶ μου] ὀςᾶ λέγει τὰς ἐρειδούσας τὸν νοῦν δυνάμεις λογιςικάς.

ἕως πότε] ἀποςρέΦῃ με δηλαδή.

οὐκ ἔςιν ἐν τῷ θανάτῳ] ὁ γὰρ ἀποθανὼν οὐ μνησθήσεται θεοῦ διὰ παρακλήσεως. ἀνόνητον γὰρ αὐτῷ.

ἐταράχθη ἀπὸ θυμοῦ] συγκέχυταί μου ὁ νοῦς ἔκ τε

τε

10) Sic ex rafura. Antea haud dubie erat παροίκησιν. Παροίκησιν habes apud Philonem p. 81. 334.

11) ἄνευ παρεγκλίσεως. Hoc vocabulo augeri poffunt Lexica.

τοῦ ἐνθυμεῖσθαι τὴν σὴν κατὰ τῶν ἁμαρτωλῶν ἀγανάκτησιν ἐν τῇ μελλούσῃ κρίσει, καὶ ἐκ τῶν νῦν με περιεχουσῶν συμφορῶν, ἀλλὰ καὶ ὁ σωματικὸς ὀφθαλμὸς ἐκ τοῦ δακρύειν τεθόλωται.

ἐπαλαιώθην] διὰ τὴν σὴν ἀποστροφὴν ἠτιμώθην ὡς πεπαλαιωμένον ἱμάτιον ὑπὸ τῶν ἐχθρῶν μου καταφρονούμενος.

αἰσχυνθείησαν] ὃ προφητικοῖς ὄμμασιν ἐθεάσατο, ταχὺ γενέσθαι παρακαλεῖ.

ad Psal. VII.

Ἰεμενεί.] ὁ Ἰεμενεὶ λέγεται καὶ Ἀραχὶ ἐν ταῖς βασιλείαις. διώνυμος γάρ. τὸ δὲ, ὑπὲρ τῶν λόγων Χουσί, τοῦτό ἐστιν, ὅτι μεταμέληται ὁ προφήτης ἐφ᾽ οἷς ὅλως ἤλπισεν ἐπὶ τῇ συνέσει καὶ τοῖς λόγοις Χουσὶ, οἷς ἠπάτησε τὸν Ἀβεσαλὼμ, καὶ τὴν βουλὴν Ἀχιτόφελ διέλυσε. καὶ ἔστιν ὁ ψαλμὸς ἱλαστήριος, ἐξευμενίζων τὸν θεὸν καὶ παρακαλῶν εἰς βοήθειαν, ὁμολογοῦντος τοῦ Δαβὶδ, μὴ ἐλπίζειν εἰς τὴν σύνεσιν τοῦ Χουσὶ, μήτε ὅλως εἰς ἄνθρωπον, ἀλλ᾽ εἰς μόνον τὸν κύριον. ἁρμόσει δὲ ὁ ψαλμὸς καὶ παντὶ τῷ ἐν περιστάσεσι [12]). διώκοντας μὲν οὖν νοήσει τίς [13]) ἂν καὶ τοὺς δαίμονας· λέοντα δὲ, τὸν ἄρχοντα τούτων, ὃς ἁρπάζει τὴν ψυχὴν εἰς ἁμαρτίαν, εἰς ἀπόγνωσιν, ἢ διὰ ταῦτα καὶ ἐξελθοῦσαν τοῦ σώματος.

μήποτε ἁρπάσῃ] μήποτέ τις τῶν διωκόντων με ἀφαιρήσῃ τὴν ψυχήν μου [14]), τουτέστιν ἀνέλῃ με, ὥσπερ λέων ἀγρίως καὶ ἀπανθρώπως.

εἰ ἐποίησα τοῦτο] ὃ δηλαδὴ ποιοῦσιν οἱ πολεμοῦντές μοι. εὐεργετηθέντες γὰρ παρ᾽ ἐμοῦ, ζητοῦσί με ἀποκτεῖναι.

ἀνταπέδωκα] τὸ πρῶτον ἀνταπέδωκα καταχρηστικῶς ἀντὶ τοῦ ἔδωκα.

κενὸς] κενὸς τῆς ἐλπίδος. ἐλπίζω γὰρ εἰς σὲ, νικῆσαι αὐτούς.

τὴν ψυχήν μου] περίφρασις, ἀντὶ τοῦ ἐμέ.

τὴν ζωήν μου] ζωὴ λέγεται καὶ τὸ αἷμα, ὡς συνεκτικὸν τῆς ζωῆς.

τὴν δόξαν μου] δόξαν λέγει, καὶ τὸ ἔνδοξον αὐτοῦ σῶμα διὰ τὴν ῥώμην. τὸ δὲ κατασκηνῶσαι, ἀντὶ τοῦ κατασκηνῶσαι ποιήσειεν.

ὑψώθητι

12) i. e. ἐν συνοχωρίαις.

13) Ita constanter optimi codices τὸ, τίς exhibent, contra praecepta grammaticorum, qui accentum post paroxytonum tolli docent.

14) Hic in marg. a manu recentiori legitur. γρ. ζωήν μου.

ὑψώθητι] ὑψηλὸς ὢν φάνηθι τοιοῦτος. ἐν τοῖς τέλεσιν εἴτουν θανάτοις καὶ ἀφανισμοῖς τῶν ἐχθρῶν τοῦ σοῦ δούλου, καὶ διὰ τοῦτο καὶ σῶν.

ἐν προστάγματι] διὰ τὸ πρόσταγμα, ὃ ἐνετείλω, τὸ τιμᾶν τὸν πατέρα· ἢ ὅτι σὸν πρόσταγμα τὸ τοῖς ἀδικουμένοις ἀμείνειν[15], ὃ γοῦν ἐνετείλω, δρᾶσον αὐτός.

κυκλώσει] προσδραμεῖταί σοι.

εἰς ὕψος ἐπίστρεψον] ἄνελθε πρὸς τὸν πατέρα.

δικαιοσύνην] δικαιοσύνην ἐνταῦθα τὴν [16] ἀθωοσύνην φησίν· ἀκακίαν δέ, τὸ μὴ ἐνδείξασθαι κακὸν εἰς τοὺς ἀποστάτας.

συντελεσθήτω] εἰ στήσεται τῶν ἁμαρτωλῶν ἡ πονηρία ἀνεμποδίστως. (ὁδεύσουσιν[17]) οἱ δίκαιοι τὴν τῆς ἀρετῆς ὁδόν.)

ἐτάζων καρδίας] τινὲς διὰ τῆς καρδίας, τὸ θυμικὸν ἐνόησαν· διὰ τῶν νεφρῶν δέ, τὸ ἐπιθυμητικόν, ἐξ ὧν ἁμαρτία πᾶσα συνέστηκεν. ἄλλοι δὲ νεφροὺς ἔφασαν, τοὺς βαθεῖς διαλογισμούς.

ὀργὴν] ὀργήν φησι τὴν τιμωρίαν καὶ κόλασιν.

στιλβώσει] ἡ στίλβωσις τῆς ῥομφαίας καὶ ἡ ἔντασις τοῦ τόξου, ἀπειλῆς ὁμοῦ καὶ μακροθυμίας σύμβολα.

σκεύη] σκεύη τὰς ποικιλίας φησί.

καιομένοις] καιομένους λέγει, τοὺς ὑπευθύνους τῷ πυρὶ τῆς κολάσεως, διὰ τὸ μηδεμίαν ἔχειν ἀρετῆς ἰκμάδα.

ἰδοὺ ὠδίνησεν] διὰ τὸν Ἀβεσαλὼμ καὶ τὸν Ἀχιτόφελ, καὶ εἴ τις κατ᾽ ἐκείνους.

πόνον] πόνον τὴν κάκωσιν ὑποληπτέον. ἐμελέτησε γὰρ ἀδικῆσαί με φησὶ καὶ κακῶσαι. καὶ ταῦτα μελετήσας ἠνόμησε φανερῶς. διὸ καὶ ὁ πόνος αὐτοῦ, ἤγουν ἡ εἰς ἐμὲ μελετωμένη κάκωσις, ἐπιστρέψει εἰς τὴν αὐτοῦ κεφαλήν, τουτέστιν εἰς αὐτόν.

ad Psal. VIII.

Τῶν ληνῶν] ληνοὺς λέγει τὰς ἐκκλησίας τῶν πιστῶν. ἄμπελος μὲν γὰρ ὁ κύριος, κλήματα δὲ οἱ ἀπόστολοι, βότρυς δὲ ἡ πίστις, ἥτις ἐναποθλιβομένη ταῖς ἐκκλησίαις τὴν διδασκαλίαν δίδωσιν, ὡς οἶνον, τὰς καρδίας τῶν πιστῶν εὐφραίνουσαν. προσώπῳ γοῦν τῶν τοιούτων πνευματικῶν ληνῶν ὁ ψαλμὸς ἐκπεφώνηται πρὸς θεὸν παρὰ τοῦ προφήτου Δαβίδ.

ὡς

15) Imo ἀμύνειν.
16) Etiam ἀθωοσύνη, vt rarum vocabulum, notari potest.
17) Quae hic inclusi, ea in marg. a manu recentiori leguntur.

ὡς θαυμαςὸν] τὸ ὩΣ, ἀντὶ τοῦ λίαν.

ὅτι ἐπήρθη] τὸ ὍΤΙ, ἀντὶ τοῦ ὄντως. ὑψώθη φησὶν ἡ μεγαλειότης σου ὑπεράνω τῶν ȣρανῶν. ὑπερεξεπλάγησαν γὰρ αὐτὴν καὶ οἱ ἄγγελοι. μεγαλοπρέπειαν δὲ καὶ μεγαλειότητα λέγει, τὴν ὑπερθαύμαςον πρὸς ἡμᾶς συγκατάβασιν.

κατηρτίσω] τέλειον εἰργάσω ἐξ ἀτελȣ̃ς ςόματος.

ἐχθρὸν καὶ ἐκδικητὴν] ἐχθρὸν καὶ ἐκδικητὴν λέγει, καὶ τὸν Ἰȣδαϊκὸν λαὸν, ὡς ἐχθραίνοντα τῷ Χριςῷ καὶ προσποιȣ́μενόν ἐκδικεῖν τὸν πατέρα. λέγει καὶ τὸν διάβολον, ὡς εἰς ἁμαρτίαν ἡμᾶς συνελαύνοντα καὶ ἔκτοτε τὴν θείαν ἡμῖν ἀπειλȣ́μενον ἀγανάκτησιν, ἵν' ἑλκύσῃ πρὸς ἀπόγνωσιν.

ὄψομαι] τὸ ὄψομαι ἀντὶ τȣ̃ ἐπιγνώσομαι.

υἱὸς ἀνθρώπȣ] ἦλθες ἐπισκέψασθαι πεσόντα τῇ παραβάσει, καὶ ἀναςῆσαι τοῦ πτώματος τὸν ȣ̓δὲν ὄντα ἄνθρωπον, βασιλέα πρῶτον καταςήσας πάσης τῆς γῆς, τὸν ȣ̓δενὸς ἄξιον. ὄντως ὑπερθαύμαςος ἡ ἀγαθότης σȣ.

ἠλάττωσας] διὰ τὴν συμπλοκὴν τοῦ σώματος.

δόξῃ] δόξῃ· διὰ τὸ νοερόν· τιμῇ· διὰ τὴν τῶν ζώων ὅλων ὑποταγήν.

ad Pſal. IX.

Κρυφίων] κρύφια τȣ̃ υἱȣ̃, ὁ δεσποτικὸς ὠνόμαςαι θάνατος. ȣ̃τος γὰρ μυςήριον ἀπ' αἰῶνος κεκρυμμένον.

ἀσθενήσȣσι] ἀντιχρονικῶς, ἤτοι ἠτόνησαν καὶ ἠφανίσθησαν ἀπὸ τῆς ἐπιφανείας σου.

τὴν κρίσιν] κρίσιν καὶ δίκην, τὴν δικαίωσίν φησιν.

ἐπὶ θρόνȣ] θρόνον λέγει, τὴν δικαςικὴν ἐξȣσίαν.

αἱ ῥομφαῖαι] ῥομφαῖαι τοῦ ἐχθρȣ̃, τὰ πάθη τῆς ἀτιμίας· πόλεις δέ, τὰ ὀχυρώματα τῆς πλάνης.

ἀπώλετο] διὰ τούτȣ τὴν παντελῆ ἀπώλειαν τῆς εἰδωλολατρίας δηλοῖ, καὶ τὸ τȣ̃ ἀφανισμοῦ ταύτης ἐξάκουςον πανταχȣ̃.

ὁ κύριος εἰς τὸν αἰῶνα] διὰ τȣ́τȣ τὸ τῆς εὐσεβείας δηλοῖ μόνιμον καὶ ἀΐδιον.

ἡτοίμασεν] τοῦτο διὰ τὴν μέλλȣσαν κρίσιν.

καὶ ἐγένετο——πένητι] τὸ ἀπροσωπόληπτον παρίςησι τȣ̃ θεȣ̃.

βοηθὸς] βοηθὸς εὐκαίρως, ἤγȣν ἐν ἐπιτηδείῳ καιρῷ. φησὶ γὰρ, καιρῷ δεκτῷ ἐπήκȣσά σου.

τῷ

τῷ κατοικοῦντι] οἴκησιν λέγει, τὴν οἰκείωσιν εἴτε [18]) πρὸς τὴν Ἱερουσαλὴμ, εἴτε τὴν πρὸς τὴν ἐκκλησίαν τῶν πιστῶν.

τὰ ἐπιτήδευματα] τὰ ἔργα, τουτέστι τὰς εὐεργεσίας καὶ τὰ τεράστια.

τὰ αἵματα] τὰ χεόμενα ἐν ταῖς τῶν δαιμόνων θυσίαις.

ἐμνήσθη] ἐπιλελησμένη γὰρ πρὶν ἡ Φύσις ὑπῆρχεν ἡμῶν διὰ τὴν ἀποστασίαν.

οὐκ ἐπελάθετο] ἡ πτωχὴ παντὸς ἀγαθοῦ Φύσις ἡμῶν, τυραννουμένη πικρῶς, ἔκραζε μόνον πρὸς τὸν σώζειν δυνάμενον.

ἐλέησόν με] προσώπῳ παντὸς Χριστιανοῦ.

Σιὼν] Σιὼν λέγει τὴν ἐν οὐρανοῖς ἐκκλησίαν τῶν ἁγίων· πύλας δὲ αὐτῆς τὰς κατὰ τόπους ἐκκλησίας τῶν πιστῶν.

ἔθνη] ἔθνη, οἱ δαίμονες· διαφθορὰ, ἡ ἀπώλεια, ἣν ἐσπούδαζον εἰς Χριστόν.

κρίματα] ἐνταῦθα τὰς ἐκδικήσεις εἴρηκε κρίματα.

ἀποστραφήτωσαν] ἀπὸ τῆς ζωῆς ταύτης στραφήτωσαν εἰς κόλασιν. ἁμαρτωλοὺς δὲ λέγει νῦν τοὺς ἀπίστους.

ὁ πτωχὸς] πτωχοὺς καὶ πένητας ἄρτι τὸν εὐσεβῆ ὀνομάζει λαόν.

μὴ κραταιούσθω] μὴ [19]) θρασυνέσθω.

κατάστησον] καταδούλωσον αὐτοὺς, τὴν αὐτονομίαν τούτων περίελε.

ὑπερορᾷς] ἱνατί οὐκ ἐπισκέπτῃ καὶ ταῦτα ἐν καιροῖς δεομένοις ἐπισκοπῆς σου; λέγω δὴ ἐν ταῖς θλίψεσι τῶν ἀδικουμένων.

ὑπερηφανεύεσθαι] τοῦ ἀσεβοῦς τὴν ἀλαζονείαν τὴν ἀπὸ τοῦ εὐοδοῦσθαι θεώμενος ὁ πτωχὸς τὴν διάνοιαν πυρπολεῖται τὰ ἐντὸς μεγάλως ἀθυμῶν καὶ σκανδαλιζόμενος.

συλλαμβάνονται] παγιδεύονται οἱ μικρόψυχοι, ἐξ ὧν διαλογίζονται θεωροῦντες τὸν ἁμαρτωλὸν ἐπαινούμενον.

παρώξυνε] ἠρέθισεν εἰς ὀργήν. μακρόθυμος δὲ ὢν ὁ κύριος, οὐ καθὼς παρωξύνθη, οὕτω καὶ ἀπαιτήσει δίκας.

αἱ ὁδοὶ] ὁδοὺς τὰς πράξεις φησίν.

ἀντανακαιρεῖται] ἀδόλως [20]) τὰς σὰς κρίσεις ἔχει πρὸ ὀφθαλμῶν.

πάντων τῶν ἐχθρῶν] πάντων τῶν ἀνθισταμένων αὐτῷ καταδυναστεύει.

ἀπὸ

18) Malim hic addere τήν.
19) Hoc scholium a manu recentiori est adscriptum.
20) Sic inusitatim in Codice.

ἀπὸ γενεᾶς εἰς γενεὰν] τουτέστι παρ' ὅλην τὴν ζωήν μου ἄνευ κακώσεως ἔσομαι δηλαδή.

ἀρᾶς] λοίδορα λέγει πᾶσι καὶ πανοῦργα.

ὑπὸ τὴν γλῶσσαν] γλωσσαλγεῖ διασύρων. ἢ ἐκεῖνα λαλεῖ, ὅσα κακοπάθειαν καὶ θλίψιν παρέχει τοῖς ἐπιβουλευομένοις παρ' αὐτοῦ.

μετὰ πλουσίων] μετὰ πλεονεκτῶν καὶ οἷς ἔργον τὸ εἶναι πλουσίους, καὶ συλλέγειν ἐξ ἁρπαγῆς καὶ μιαιφονίας.

εἰς τὸν πένητα] πτωχὸν καὶ πένητα λέγει τὸν τῆς ἀνθρωπίνης ἰσχύος καὶ δυναστείας ἐστερημένον.

ἐν τῇ παγίδι] κατακυριεύσει αὐτοῦ.

κύψει] πρὸς τὸ βάραθρον τῆς ἀπωλείας κατενεχθήσεται ὡς ἀδιόρθωτος.

ἀνάστηθι] ἀνάστασιν λέγει τὴν πρὸς ἄμυναν κίνησιν. ἡ δὲ τῆς χειρὸς ὕψωσις, καταφορὰν τιμωρίας μεγάλην δηλοῖ. ἢ τὸ ὑψωθήτω ἡ χείρ σου, ἀντὶ τοῦ ὑψηλὴ καὶ ὑπερφυὴς φανήτω ἡ δύναμίς σου, καθὼς καὶ ἔστι.

ἕνεκεν τίνος.] τοῦτο τῆς ἀνοσιουργίας τὸ αἴτιον, τὸ ἐννοεῖσθαι περὶ θεοῦ, ὡς οὐκ ἐξετάσει τὰ δρώμενα.

βλέπεις] τὴν θλίψιν τῶν ἀδικουμένων καὶ τὴν θηριωδίαν 21) τοῦ ἀδικοῦντος ἀκριβῶς ἐρευνᾷς καὶ διαγινώσκεις, ἵνα παραδῷς αὐτὸν ταῖς τιμωρίαις σου.

ζητηθήσεται] ἐὰν ἐξετάσῃς τὸ μέγεθος τῆς τιμωρίας αὐτοῦ, ἄξιος οὗτος ἀφανισμοῦ.

κύριος βασιλεὺς] διδάσκει τοῦτο τοὺς μικροψύχους, ὅτι κἂν μὴ νῦν δῶσι δίκας οἱ πονηροί, ὁ θεὸς ἐν τῷ μέλλοντι αἰῶνι ἀπαιτήσει ταύτας ἐξ αὐτῶν. αἰώνιος γὰρ αὐτοῦ ἡ βασιλεία.

ἀπολεῖσθε ἔθνη] τοὺς μὴ τὸν θεὸν αἰώνιον βασιλέα γινώσκοντας, ἔθνη λέγει νῦν.

κρῖναι] ἑρμηνευτικὸν τοῦ ἀνωτέρω ῥηθέντος, οἷον, ἐπιθυμία μὲν τῶν πενήτων, τὸ κρῖναι τῷ ὀρφανῷ καὶ τῷ ταπεινῷ τὸν θεόν. ἑτοιμασία δὲ καὶ πρόθεσις τῆς καρδίας αὐτῶν, ἵνα μηκέτι μεγαλαυχήσῃ ἄνθρωπος.

ad Psal. X.

Τοῦτον ᾖσε Δαβὶδ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, ΕΙΣ ΤΟ ΤΕΛΟΣ δὲ ἐπιγέγραπται, ἅτε πρόῤῥησιν ἔχων τῆς γενησομένης αὐτῷ ἐκλυτρώσεως ὑπὸ θεοῦ.

πέποιθα]

21) i. e. ἀπανθρωπίαν. Idem vocabulum legitur in opuſculis Mythologicis etc. apud Galeum p. 349. τὴν δὲ ἄκραν κακίαν, θηριωδίαν. v. edit. Amſtelod. 1688.

πέποιθα] ὑπερβατῶς ἐπὶ τῷ κυρίῳ τεθάῤῥηκα. διότι οἱ ἁμαρτωλοὶ καὶ οἱ μισούμενοι ὑπὸ θεοῦ, ἐκεῖνοί μοι πολεμοῦσι. πῶς οὖν οἱ εὐνοοῦντες εἴποιτε ἂν τῇ ψυχῇ μου, ἤγουν ἐμοί, Φεῦγε εἰς τὰ τῆς ἐρήμου ὑψηλότερα.

ἐν σκοτομήνῃ] λείπει τὸ ΩΣ, ἵν᾽ ᾖ, ὡς ἐν σκοτομήνῃ καὶ ἀσελήνῳ νυκτί, τουτέστι λαθραίως.

ὅτι ἃ σὺ κατηρτίσω] ἃ σὺ εἰργάσω, κύριε, οὗτοι κατέστρεψαν, τοὺς νόμους σου δηλαδή. πέποιθα γοῦν καὶ διὰ τοῦτο.

ὁ δὲ δίκαιος] ὁ δὲ δίκαιος κύριος τί ἐποίησεν; ἆρα παρεῖδε; καὶ μὴν καὶ ἐν τῷ ναῷ ἐστί, καὶ ἐν τῷ οὐρανῷ καὶ πανταχοῦ. καὶ ἐπισκέπτεται τοὺς πένητας καὶ πάντας ἐξετάζει.

παγίδας] παγίδας τὰς ἀφύκτους τιμωρίας φησίν.

ἡ μερίς] εἰ τὸ μέρος τῆς θείας ὀργῆς τοιοῦτον, ἡ ὁλότης [22]) ὁποία;

ad Psal. XI.

Ὀγδόης] ὀγδόην ἐνταῦθα τὴν ἡμέραν λέγει τῆς τοῦ Χριστοῦ ἀναστάσεως. ἡ κυριακή τε γὰρ καὶ πρώτη καὶ ὀγδόη ἐστίν, ὡς ἀρχὴ καὶ τέλος θεωρουμένη. κατ᾽ αὐτὴν δὲ ἀνέστη ὁ κύριος. καὶ πάλιν ἡ τοῦ κυρίου ἀνάστασις, τὴν κατάστασιν τοῦ ὀγδόου αἰῶνος ἤτοι τοῦ μέλλοντος προεγνώρισε. παρακαλεῖ δὲ ὁ προφήτης ἐλθεῖν τὴν τοῦ σωτῆρος ἀνάστασιν, ἕνεκεν τῆς ἐκδικήσεως τῶν τυραννουμένων ὑπὸ τοῦ διαβόλου καὶ τῇ εἰδωλολατρίᾳ δεδουλωμένων.

χείλη δόλια] τὰ χείλη τὰ δόλια ἤτοι ὁ δόλιος ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ, τουτέστιν ἐν διπλόῃ καρδίας ἤτοι γνώμης ἐλάλησε κακὰ ἤγουν κακωτικὰ καὶ βλαβερά, ἔσω μὲν ἀλλοίαν γνώμην ἔχων, ἔξω δὲ ἀλλοίαν δεικνύς.

γλῶσσαν μεγαλοῤῥήμονα] τοὺς ἀλαζονευομένους φησὶ καὶ κομπάζοντας.

τοὺς εἰπόντας] ἑρμηνευτικὸν τοῦ ἀνωτέρω, τοὺς σκεψαμένους ἐν ἑαυτοῖς μεγάλα καὶ ἀλαζονικὰ παρασκευάσαι τὴν γλῶτταν φθέγγεσθαι.

τὰ χείλη ἡμῶν] ἐξουσιάζομεν τῶν χειλέων ἡμῶν, τίς ὁ δεσπόζων ἡμῶν, ὥστε κωλῦσαι ἡμᾶς μεγαλοῤῥημονεῖν.

θήσομαι ἐν σωτηρίῳ] θήσω τοὺς πτωχοὺς ἐν σωτηρίᾳ, ἐν αὐτῇ τε παῤῥησιάσομαι, τουτέστι τὴν ἐμὴν φανερώσω ἰσχύν.

22) Hoc vocabulum, quod in plerisque Lexicis auctoritate destitutum est, legitur apud Sextum Empir. Hypotyp. p. 118. edit. Genev. 1621. Scholiastam Hermog. p. 404. edit. Ald. et Eustath. ad Dionys. Alexandr. p. 8.

τὰ λόγια] εἰπὼν, ὅτι τάδε λέγει κύριος, διαβεβαιῦται τῶν θειων λογων τὸ ἀψευδέςατον.

ἀργύριον] ὥσπερ τὸ ἐκπυρωθὲν ἀργύριον καὶ δοκιμασθὲν ἐν τῇ γῇ, τουτέςι τῷ χωνευτηρίῳ, καὶ πολλαπλασίως κεχωνευμένον οὐκ ἔχει ῥύπον, οὕτως οὐδὲ οἱ λόγοι τοῦ θεοῦ ἀπάτην τινα.

κύκλῳ οἱ ἀσεβεῖς] οἱ μὲν ἀσεβεῖς, οἵ τε ὁρατοὶ καὶ ἀόρατοι περικυκλοῦσιν ἡμᾶς· σὺ δὲ πολλῆς Φροντίδος καὶ κηδεμονίας ἠξίωσας, κατα τὸ ὕψος σου, τὸ ἐν ςαυρῷ, τὸ ἐν οὐρανοῖς, ἢ καθὸ ὑψηλὸς εἶ καὶ θαυμαςός.

ad Psal. XII.

Ἦισε τοῦτον ὁ προφήτης παρασκευαζομένου τοῦ Ἀβεσαλῶμ ἐπιθέσθαι πόλεμον αὐτῷ. ἁρμόζει δὲ καὶ πᾶσιν ἀδικουμένοις.

ἐπιλήσῃ] λήθην λέγει θεοῦ, τὴν τῶν ἁμαρτωλῶν ἐγκατάλειψιν. τὸ δὲ ΕΙΣ ΤΕΛΟΣ, παράτασιν δηλοῖ.

τὸ πρόσωπόν σου] πρόσωπον θεοῦ ἡ ἐποπτικὴ δύναμις καὶ ἡ ἐπίσκεψις. ἀποςροφὴ δὲ, ἡ περιόρασις.

Φώτισον] τὸν νοῦν μου ἐσκοτισμένον τῷ ζόφῳ τῆς ἁμαρτίας καὶ τῇ τῆς ἀθυμίας ἀχλύϊ, καταύγασον, διά τε τῆς τῶν πλημμελημάτων συγχωρήσεως καὶ τῆς ἀπαλλαγῆς τῶν συμφορῶν, ἵνα μὴ ὑπνώσω εἰς θάνατον ἀπογνώσεως, ἢ καὶ εἰς θάνατον αἰσθητὸν ὑπὸ τῆς ἄγαν λύπης.

σαλευθῶ] ἐὰν παρακινηθῶ ἀπὸ τῆς ἐν σοὶ ἀσφαλείας.

ἀγαλλιάσεται] προφητικῶς ἐντεῦθεν Φησὶν, εὐφρανθήσομαι ἐπὶ τῇ παρὰ σοῦ δωρουμένῃ μοι σωτηρίᾳ.

ad Psal. XIII.

Προαγορεύει περὶ τῶν γεγενημένων κατὰ τὴν ἡμέραν Ἐζεκίου καὶ τῶν κατὰ τὴν πρώτην τοῦ Χριςοῦ παρουσίαν. ἄφρονα δὲ λέγει τὸν Σεναχηρεὶμ καὶ τὸν Ἰουδαϊκὸν λαόν.

διεφθάρησαν] οἱ ἄφρονες, οἱ λέγοντες μὴ εἶναι θεὸν, διεφθάρησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, ἀνόσια λογισάμενοι καὶ ἄθεα· ἐμισήθησαν δὲ τῷ θεῷ καὶ ἐν τοῖς μυσαροῖς ἔργοις αὐτῶν, ἢ καὶ ὑπερβατῶς, διεφθάρησαν ἐν τοῖς ἐπιτηδεύμασι καὶ ἐβδελύχθησαν ὑπὸ θεοῦ.

τοῦ ἰδεῖν] εἰ ἔςι που Φρονῶν καὶ λέγων εἶναι θεὸν καὶ ἐπικαλούμενος αὐτόν. τὸ γὰρ Η ἀντὶ τοῦ ΚΑΙ. διὰ δὲ τοῦ εἰπεῖν ἐκ τοῦ οὐρανοῦ διέκυψε τοῦ ἰδεῖν, τὸ παντέφορον ἐδήλωσε τῆς θείας ἐπισκοπῆς καὶ τῶν διανοιῶν αὐτῶν ἐξεταςικόν.

ἐξέκλι-

ἐξέκλιναν] ἐξέκλιναν τῶν ὀρθῶν περὶ θεοῦ δογμάτων καὶ τῆς τῶν ἔργων εὐθύτητος. διὸ εὐθὺς ἀχρεῖοι καὶ βδελυκτοὶ γεγόνασι τῷ θεῷ.

οὐχὶ γνώσονται] ἐρωτηματικῶς. ἔργοις γὰρ γνώσονται, ὅτι ἐςὶ θεός. ἢ καὶ ἀποφατικῶς, διὰ τοὺς Ἰουδαίους. οὐκ ἐπέγνωσαν γὰρ οἱ ἄνομοι τὸν Χριςὸν, υἱὸν ὄντα θεοῦ.

οἱ ἐσθίοντες τὸν λαόν μου] προσώπου τοῦ κυρίου.

ἐκεῖ] ἐκεῖ ἐν Ἱερουσαλὴμ ἐφοβήθησαν τὸν φόβον ἐκείνου, οὗτινος φόβος οὐκ ἦν ἐν αὐτοῖς, ἤγουν τοῦ κυρίου.

τίς δώσει] οὐδεὶς τῶν ἐκ Σιὼν σώσει τὸν Ἰσραὴλ, πλὴν θεοῦ.

ἐν τῷ ἐπιςρέψαι] ἐν τῷ ἐπιςρέψαι κύριον, τὸν αἰχμάλωτον λαὸν αὐτοῦ εἰς τὴν προτέραν ἐλευθερίαν, χαρήσεται ὁ λαὸς οὗτος.

VI.

Ἐις τὸ [1]) ἅγιον σύμβολον.

Τί ἐςι πίςις; ΠΙΣΤΙΣ ἐςὶν ἐλπιζομένων ὑπόςασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων, ἢ ἀπολυπραγμόνητος συγκατάθεσις, ἢ ἑκούσιος συγκατάθεσις, ἢ ὡς ὁ μέγας ἔφη Βασίλειος, πίςις ἐςὶ, συγκατάθεσις ἀδιάκριτος τῶν ἀκουσθέντων ἐν πληροφορίᾳ τῆς ἀληθείας τῶν κηρυχθέντων θεοῦ χάριτι.

ΣΥΜΒΟΛΟΝ ὀνομάζεται, ὡς σημεῖον τῆς ἐν ψυχῇ πίςεως. ἐπειδὴ γὰρ ἀσώματον πρᾶγμά ἐςιν ἡ ψυχὴ, καὶ τὰ ἐν αὐτῇ δόγματα ἀφανῆ τε καὶ ἄδηλα, τούτου χάριν τῆς ὁμολογίας ταυτης ἐδέησεν αὐτῇ, ἵνα διὰ ταύτης ἡ ἐνδιάθετος αὐτῆς πίςις ἐκφαίνηται καὶ μὴ ἀμφιβάλληται.

Πιςεύω] τουτέςιν ἀπολυπραγμονήτως ἐπὶ τοῖς ῥηθησομένοις δόγμασι συγκατατίθεμαι, καὶ μὴν οἱ πατέρες ΠΙΣΤΕΥΟΜΕΝ εἶπον πληθυντικῶς. εἰς ταυτὸν δ᾽ ἄγει ἀμφότερα. πληθυντικῶς μὲν γὰρ ἔλεγον ἐκεῖνοι τὴν κοινὴν

 σφῶν

1) Legitur haec interpretatio ſymboli in eodem Codice 344. fol. 175. ſeqq. Forte ergo et haec auctorem habet Euthymium Zygabenum. Aliam quoque in alio Codice interpretationem reperi Simeonis Theſſalonicenſis.

σφῶν αὐτῶν περὶ πίςεως γνώμην καὶ τὴν ἰδίαν ἑκάςȣ παριςῶντες. ἡμεῖς δ᾽ ἀνάπαλιν, τῇ ἑνὸς ἑκάςου πίςεως ὁμολογίᾳ, τὴν τȣ̃ παντὸς τῶν πιςῶν ἀθροίσματος συνεισάγοντες.

Πιςέυω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα]. τȣ̃το ἄλλοι μὲν ἄλλως ςίζȣσιν. οἱ μὲν εἰς τὸ ΘΕΟ'Ν, ὡς ἂν κατὰ κοινȣ̃ τῶν τριῶν ὑποςάσεων παραλαμβάνηται τὸ θεὸς ὄνομα. ἄλλοι δὲ συνάπτȣσιν. ²) ππων καὶ Ἐπίκȣρος ὁ Φιλήδονος, θεὸν παντελῶς ἠγνόησαν, διὰ τοῦ αὐτοματισμοῦ τὴν ἀταξίαν εἰσάγοντες, ὧν ὁ μὲν, τὸ ὕδωρ ἀρχὴν ἐφληνάφει, ὁ δὲ, ἀπείρȣς ἀτόμους. Πλάτων ἰδέαν καὶ ὕλην ἔλεγε θεὸν, ὡς τȣ̃ θεȣ̃ μὴ δυναμένου μήτε ὕλην, μήτε παραδείγματος χωρὶς, τὸν κόσμον συςήσασθαι, καὶ ȣ̃τως εἶναί τινα συναΐδια τȣ́τῳ καὶ συνάναρχα. Ὀυαλεντῖνος λ΄ θεȣ̀ς ἔλεγεν εἶναι. οἱ ἀπὸ Μαρκίωνος τρεῖς ἀρχάς. οἱ ἀπὸ Κέρδωνος, δύο εἶναι θεȣ̀ς ἐδογμάτισαν. καὶ οἱ ἀπὸ Μάνεντος β΄ ἀρχάς.

Πιςέυω εἰς ἕνα θεὸν] ἕνα λέγεται θεὸν, ἢ τὸν πατέρα φαμὲν, ἢ τὸν υἱὸν, ἢ τὸ πνεῦμα, καὶ πάλιν ὁμοῦ τὰ γ΄. τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα, ποτὲ μὲν ἑκάςῃ τῶν τριῶν ὑποςάσεων τοῦτο προσνέμοντες, ποτὲ δὲ τῇ μιᾷ τῶν γ΄ ȣ̓σίᾳ. εἰ μὲν ȣ̃ν συνάπτοντες ἀναγνῶμεν, πιςέυομεν εἰς ἕνα θεὸν πατέρα, τῇ ὑποςάσει τȣ̃ πατρὸς, τὴν τοῦ ἑνὸς σημασίαν ἁρμόζομεν· εἰ δὲ λέγοιμεν εἰς ἕνα θεὸν, ἐνταῦθα ςίζοντες, εἶτα ἐπάγομεν, πατέρα, τὴν μίαν τῆς θεότητος ȣ̓σίαν σημάναντες, ἐπὶ τὸ τριαδικὸν χωρȣ̃μεν τῶν ὑποςάσεων.

Πιςέυω εἰς ἕνα θεὸν] ȣ̓κ ȣ̓σίας σημαντικόν ἐςι τὸ, θεὸς, ȣ̓δὲ τῆς θείας φύσεως ὄνομα. ὥσπερ γὰρ ὑπὲρ ἅπαν καθέςηκε νόημα, ȣ̃τω καὶ πᾶν ὄνομα διαπέφευγεν. ἀλλ᾽ ἔςι μὲν ἐνεργείας ³) θείας ȣ̓σίας σύμβολον. ȣ̓ γὰρ τὸ εἶναι τȣ̃ θεȣ̃ παρίςησιν, ἀλλὰ τὴν εἰς ἡμᾶς ἐξ αὐτοῦ προϊȣ̃σαν ἐκθεωτικὴν δύναμιν καὶ ἐνέργειαν.

Πιςέυω εἰς ἕνα θεὸν παντοκράτορα] πατέρα νοȣ̃μεν, τὴν θεογόνον αἰτίαν, ἧς ὥσπερ τινὲς βλαςοὶ θεόφυτοι κατὰ τὸν ἐξ Ἀρείȣ πάγȣ σοφώτατον Διονύσιον, υἱὸς καὶ πνεῦμα γνωρίζονται. ȣ̓ γὰρ ἐκ τῆς ἐν τοῖς δημιȣργήμασι πατρικῆς σχέσεως εἴτε καὶ γονιμότητος ἡ ἐν θεῷ πατρότης ἐςὶν, ἀλλ᾽ ἐκ τῆς ὑπερφυοῦς γονιμότητος τῆς ὑπερȣσίȣ θεότητος ἐν τοῖς

2) Hic omiſit ſcriba literam initialem, quas in reliquis nominibus propriis diuerſo, vt opinor, tempore liquore rubro adiecerat. Puto autem de Hippone hoc loco loqui interpretem, de quo vide Fabr. Bibl. Gr. Vol. I. p. 819. Certe ibi in notis traditur iſtum *Aquam et ignem putaſſe rerum principia.*

3) Planius ἐνεργειῶν θείας ȣ̓σίας.

τοῖς δημιουργήμασιν οἷον εἰπεῖν φυσιογονίαν παράγεται. καὶ ἐκείνην αὕτη μιμεῖται, ἀλλ' οὐ τὸ ἔμπαλιν. πρῶτον δὲ τὸν πατέρα τὸ θεῖον παρείληφε [4]) σύμβολον, οὐχ ὅτι πρῶτός ἐστιν ἢ μείζων, ἀλλ' ὅτι αἴτιός ἐστι τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. αἰτιατὰ δὲ ταῦτα, οὐ μὴ αἴτια. εἰ δὲ καὶ αἴτια, ἀλλ' οὐ τοῦ πατρὸς, ἀλλὰ μετὰ τοῦ πατρὸς, κατὰ τὴν κοινὴν τῆς θεότητος αἰτιολογίαν, καὶ τῶν μετὰ θεὸν ἁπάντων κτισμάτων, ὡς συνεργὰ τῷ πατρὶ καὶ συνδημιουργὰ, οὐχ ὡς δεόμενα τῆς συνεργείας τούτων, ἄπαγε, τελεία γὰρ καὶ ὁλόκληρος ἡ θεότης ἐν ἑκάστῃ τῶν ὑποστάσεων, ἀλλ' ὡς μιᾶς οὔσης καὶ ἐνεργείας καὶ δυνάμεως καὶ βουλήσεως τῶν τριῶν.

Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς] πρῶτον μὲν τὸ τῆς φύσεως παραστατικὸν ὄνομα τέθειται τὸ ΘΕΟ'Σ, εἰ καὶ μηδὲν, ὡς εἴπομεν, αὐτῆς ἐστὶν ὄνομα. εἶτα, τὸ τῆς πίστεως τὸ ΠΑΤΗ'Ρ. οὐκ ἴδιον δὲ τοῦτο πατρὸς. ἐπεὶ προϊὼν ὁ λόγος δηλώσει τοῦτο καὶ τῷ υἱῷ καὶ τῷ πνεύματι. καὶ εἰς ἕνα γάρ φησι κύριον Ἰησοῦν Χριστὸν καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον. παντοκράτορα δὲ λέγομεν ἀποδιαστέλλοντες ἑαυτοὺς τῆς αἱρετικῆς ἀφροσύνης τῶν ἀπὸ Μάνεντος καὶ Σίμωνος καὶ Μαρκίωνος, οἳ μὴ πάντων τὴν δεσποτείαν τῷ ἑνὶ καὶ μόνῳ θεῷ διδόασιν, ἀλλὰ διαφόροις ἀρχαῖς τὴν ἐξουσίαν τῶν ὄντων ἀπομερίζουσι. διὸ παντοκράτορα τὸν πατέρα τιθέντες καὶ τὴν αἰτίαν τῆς αὐτοῦ παντοκρατορίας ἐπάγομεν, ποιητὴν οὐρανοῦ καὶ γῆς τοῦτον λέγοντες, ὡς ἄκρων γὰρ ὄντων [5]) καὶ τὰ ἐν μέσῳ σημαινόμενα.

Ὁρατῶν τε πάντων καὶ ἀοράτων] οὐ γὰρ ἄλλος μὲν τῆς ἀΰλου καὶ ἀσωμάτου οὐσίας δημιουργὸς, ἄλλος δὲ τῆς ἐνύλου ταύτης καὶ φαινομένης. οὐδὲ ἀγγέλων μὲν δημιουργὸς ὁ θεὸς, ἄγγελοι δὲ τῶν ἄλλων δημιουργοί. διὰ τῆς ΠΑ'ΝΤΩΝ δὲ προσθήκης οὐδὲν τῶν ὄντων ἐῶμεν τῆς ὑπὸ [6]) θεοῦ δημιουργίας πίπτειν ἐκτός.

Καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν] ἐν τούτῳ ἀναιροῦμεν τὴν Ἰουδαϊκὴν δόξαν, ἑνὶ προσώπῳ τὸ τῆς μοναρχίας ἀφορίζουσαν κράτος, καὶ τὸν [7]) ἀνόητον . . . . . τῆς ἐκκλησίας ἀποδιΐστησι, καὶ τὸν Λίβυν Σαβέλλιον καὶ τὸν Σαμοσατέα Παῦλον καὶ Μάρκελλον, καὶ αὐτὸν σαβελλίζοντα. οὗτοι γὰρ ἅπαντες ἀφρόνως μίαν ὑπόστασιν τῆς θεότητος ἐξηρεύξαντο.

4) In Cod. vitiose παρήλειφε.

5) Hic locus leuiter corruptus est. Malim ergo in fine legere σημαινόμεθα. Paullo ante nota vocabulum αὐτοκρατορία.

6) Pro τῆς θεοῦ δημιουργίας.

7) Post vocabulum ἀνόητον erat spacium vacuum vnius vocabuli. Puto autem excidisse vocem Ἄρειον.

Καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριςὸν] ὅτι, εἰ καὶ προσέλαβεν ὁ υἱὸς τοῦ θεȢ τὸ ἀνθρώπινον, ἀλλὰ καὶ ȣτως μία ἐςὶν ὑπόςασις ἀδιαίρετος, καὶ ἓν πρόσωπον ἐκ δύο Φύσεων καὶ ἐν δυσὶ Φύσεσιν. αἰσχυνέσθωσαν γὰρ ὁμοίως καὶ ὁ ἀνθρωπολάτρης Νεςόριος καὶ Διόδωρος, δύο τὰς ὑποςάσεις ὁμοίως ταῖς Φύσεσι λέγοντες, Διόσκορός τε καὶ [8]) Σεβῆρος καὶ ὁ δυσυχέςατος Εὐτυχὴς, ὁμοίως τῇ ὑποςάσει μίαν καὶ τὴν Φύσιν διδάσκοντες. κύριον μὲν, διὰ τὴν αὐτοῦ θεότητα καὶ τὴν τῆς θείας Φύσεως κυριότητα· Ἰησοῦν δὲ, διὰ τὴν τῆς ἀνθρωπίνης Φύσεως πρόσληψιν· Ἰησοῦς γὰρ σωτὴρ ἑλλάδι Φωνῇ ἑρμηνεύεται· Χριςὸν δὲ, διὰ τὸ συναμΦότερον.

Υἱὸν τοῦ θεȢ τὸν μονογενῆ] ἡ τῶν ἄρθρων προσθήκη τὸ, ἕνα τὸν υἱὸν εἶναι παρίςησι, τὸν ἐκ τῆς τοῦ πατρὸς ȣσίας γεννηθέντα. εἰ γὰρ καὶ πολλοὶ υἱοὶ, ἀλλὰ κατὰ χάριν ἔχȣσι τὴν υἱοθεσίαν. ὁ δὲ τȢ θεȢ υἱὸς, Φύσει υἱός ἐςιν αὐτοῦ, καὶ οὐκ ἄλλης ȣσίας, ἀλλὰ τῆς αὐτῆς. ἵνα δὲ μή τις εἴπῃ, ὅτι ἦν ποτὲ, ὅτε οὐκ ἦν, καὶ κατὰ τοῦτο ἐλαττοῦται τοῦ πατρὸς, ἐπιΦέρει τὸ ἑξῆς·

Τὸν ἐκ τȢ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων] ὁ γὰρ αἰώνων [9]) καὶ πάντων ἁπλῶς δημιȣργὸς, πῶς μετὰ τοὺς αἰῶνας ἔςαι; ὥςε ἐκ τȣτου τὸ συναΐδιον δείκνυται, καὶ Ἄρειος καταβάλλεται καὶ Εὐνόμιος.

Φῶς ἐκ Φωτὸς, θεὸν ἀληθινὸν ἐκ θεȢ ἀληθινοῦ] καὶ ταῦτα τὸ ὁμοȣσιον συνίςησιν.

Γεννηθέντα, ȣ ποιηθέντα] γέννημα γὰρ, ȣ κτίσμα, ȣδὲ ποίημα.

Ὁμοȣσιον τῷ πατρὶ, δι' ȣ τὰ πάντα ἐγένετο] τὴν ἰσοτιμίαν, ἣν ἔχει πρὸς τὸν πατέρα, ἐμΦαίνει. ὥσπερ γὰρ ἐκεῖνος παντοκράτωρ, καὶ δημιȣργὸς ἐλέγετο πάντων, ȣτω καὶ ὁ υἱός. ὁμοȣσιον δέ ἐςι, τὸ ἀπαραλλάκτως τυγχάνον τῆς αὐτοῦ ȣσίας καὶ Φύσεως.

Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν ȣρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένȣ καὶ ἐνανθρωπήσαντα] ὁρᾷς, πῶς οὐχὶ ἄλλον μὲν τὸν υἱὸν τȢ θεȢ, ἄλλον δὲ, τὸν τῆς παρθένȣ διδάσκει τὸ ἅγιον σύμβολον, ἀλλὰ τὸν αὐτόν. διὰ τȣτο γὰρ καὶ Παῦλον τὸν Σαμοσατέα καὶ Νεςόριον ἀποβάλλεται, τοὺς τὸ ὅλον πρόσΦατον καὶ ἀπὸ Μαρίας ἀρξάμενον τὸν Χριςὸν βλασΦημȣντας. ἀλλὰ δὴ καὶ ὁ ἄνους

Ἀπολ-

8) Hoc nomen varie in libris ſcriptis reperitur, modo in penultima per β, modo per τ.

9) Reſpicit ad Epiſtolam ad Hebraeos.

Ἀπολλινάριος διὰ τέτων τῆς ἐκκλησίας ἀφορίζεται; ἄλλο κακὸν ἐναντίον τυγχάνον τοῖς προτέροις. ἐκεῖνοι γὰρ ἐκ Μαρίας τὸ ὅλον, ὡς εἰπεῖν, ἄρξασθαι τὸν Χριςὸν ἔφασαν· οἱ δὲ περὶ Ἀπολλινάριον, τὸ πᾶν ἄνωθεν ἔχειν, καὶ μηδὲν ἐκ τῆς παρθένε ἀνειληφέναι, ἀλλὰ καὶ τὴν σάρκα ἐκ τῶν ἄνω καταγαγεῖν καὶ μηδὲ τέλειον ἄνθρωπον εἶναι. λείπειν γὰρ αὐτῷ τὸν νοῦν, καὶ ἀντὶ τοῦ νοῦ τυγχάνειν αὐτῷ τὴν θεότητα. ὅρα δὲ, πῶς πρῶτον κατελθόντα εἶπεν ἐκ τῶν ἐρανῶν, εἶτα σαρκωθέντα. πρὸς γὰρ τὸ τοῦ Ἀπολλιναρίε σαφῶς ἀπομάχονται [10]) δόγμα. ὅρα δὲ, πῶς σαρκωθέντα φαμὲν ἀληθείᾳ, ἐ φαντασίᾳ. ἐ γὰρ σαρκωθῆναι δόξαντα, ὥσπερ Μάνις [11]) ἔλεγε καὶ Κέρδων καὶ Μαρκίων.

Ἐκ πνεύματος ἁγίε καὶ Μαρίας τῆς παρθένε] οὐ γὰρ ΔΙΑ᾽ Μαρίας τῆς παρθένου, ὡς Ἀπολλινάριος ἔλεγεν, οὐδ᾽ ὥσπερ διὰ σωλῆνός τινος τῆς παρθενικῆς μήτρας, ὁ υἱὸς τε θεε ἐπεδήμησεν, ἄνωθεν τὴν σάρκα κατάγων ὡς ἀεὶ συνεσιωμένην αὐτῷ, καθάπερ Οὐαλεντῖνος ἐλήρησεν, ἀλλ᾽ ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένε.

Ἐκ πνεύματος ἁγίε] ὅτι θεὸς ἦν, ὁ ἐν τῇ παρθενικῇ βρεφουργέμενος μήτρᾳ. Μαρίας δὲ τῆς παρθένε, ὅτι ἐκ τῆς ἐσίας αὐτῆς ἦν τὸ πρόσλημμα τῆς ὄντως παρθένε ἅτε δὴ καὶ ἀειπαρθένε. ἔτε γὰρ πρὸ τῆς γεννήσεως ἐγνώσθη ἀνδρὶ, ὡς Καρποκράτης ἔλεγε καὶ οἱ τούτε ὁμόφρονες Μασσαλιανοὶ, ἔτε μετὰ τὴν γέννησιν. διὰ τούτων καὶ Ἀπελλῆς ἀπελαύνεται τῆς ἀληθινῆς ποίμνης Χριςε, οὐκ ἐκ Μαρίας τῆς παρθένε φάσκων αὐτὸν, ἐκ δὲ τῶν τεσσάρων ςοιχείων τὴν ἑαυτοῦ σάρκα συμπήξασθαι, εἰς ἃ καὶ ὕςερον ἀναλυθῆναι, ὅτε εἰς ἐρανοὺς ἀνεληλύθει.

Κατελθόντα] κάθοδον νοητέον, ἐ τὴν ἐκ τόπε μεταβατικὴν μετάςασιν, ἀλλὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν.

σαρκωθέντα καὶ ἐνανθρωπήσαντα] τετέςιν, ἐ μόνον σάρκα, ἀλλὰ καὶ ψυχὴν καὶ νοῦν καὶ ὅλως ὅλον ἀνειληφότα τὸν ἄνθρωπον, ἐχὶ κατὰ τὸν Ἀπολλινάριον.

Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου] ἰδοὺ καὶ Βασιλείδης διὰ τετε ἐκβάλλεται, Σίμωνα παθεῖν τὸν μάγον λέγων, νομισθέντα εἶναι Χριςόν. ὥσπερ καὶ οἱ Ἰσμαηλῖται αὐτὸν μὲν προφήτην εἶναι οἰόμενοι καὶ ἀγαπητὸν τῷ θεῷ καὶ ἀναληφθῆναι εἰς ἐρανοὺς, παθόντα μὲν, ςαυρωθῆναι δὲ αὐτε τὴν σκιάν. ἐπὶ Ποντίου Πιλάτε. καὶ τοῦτο, ἵνα ἐξ ἱςορίας, τὸν χρόνον ἀκριβῶς παραδιδούσης, οἱ

 ἀπὸ

10) Paullo ante numero singulari dixit εἶπεν, nunc plurali ἀπομάχονται.

11) Sic h. l. reperi pro Μάνης.

ἀπὸ Μαρίας, τῆς ἀδελφῆς Μωυσέος, τὸν Χριστὸν γεγεννῆσθαι φάσκοντες [12]).

. . . . [13]) καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς] παθόντα καὶ ταφέντα φησὶν, οὐ παθεῖν καὶ ταφῆναι δόξαντα, ἀλλ' ἀληθείᾳ καὶ πάθος καὶ θάνατον ὑπομείναντα καὶ ταφήν.

Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφὰς] τὰς παλαιάς. ἐτυποῦτο γὰρ διὰ τῶν παλαιῶν καὶ προεσημαίνετο διὰ τῶν προφητειῶν τριήμερος ἡ τοῦ σωτῆρος ἀνάστασις. τάχα δὲ οὐ ταύτας μόνον, ἀλλὰ καὶ τὰς τοῦ εὐαγγελίου, ἐν αἷς τρανῶς ἡ ἀνάστασις τοῦ κυρίου κηρύττεται.

Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς] τοὺς οὕτω λεγομένους Χριστολύτας αἱρετικοὺς τοῦτο ἐκβάλλει τῆς ἐκκλησίας, οἳ γυμνῇ φασὶ τῇ θεότητι, καὶ οὐ μετὰ σώματος εἰς οὐρανοὺς ἀνελθεῖν. ὡς γὰρ ἀνέστη μετὰ σώματος, οὕτως ἀνῆλθε μετὰ σώματος.

Καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ πατρὸς] ὥσπερ, ὅταν λέγωμεν κατελθεῖν, εἰ καὶ μὴ τὴν σάρκα ἐκεῖθεν εἶχεν, ἀλλ' οὖν ἐν σώματι γενέσθαι φαμὲν, καὶ διὰ σώματος ἡμῖν ὁμιλῆσαι, οὐχὶ γυμνῇ τῇ θεότητι, οὕτω καὶ ἀνεληλυθέναι νοοῦμεν μετὰ σώματος. τί δὲ ἐστι τὸ καθίσαι ἐκ δεξιῶν; ὅτι οὐκ ἐλάττων ὁ υἱὸς τοῦ πατρὸς, οὐδὲ, ὅτι ἄνθρωπος γέγονε, διὰ τοῦτο ἠλάττωται. ἐμφαίνει δὲ αὐτοῦ ἡ καθέδρα τον . . . . . . [14]) αὐτοῦ καὶ δεσποτείαν. οὐ γὰρ δούλου ἐστὶ τὸ καθῆσθαι.

Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης] ἐρχόμενον, ὃ δεσποτείας ἐστὶ καὶ τῆς ἀληθοῦς κυριότητος.

Κρῖναι ζῶντας καὶ νεκροὺς] κρῖναι ἐστὶ, τὸ διελεῖν καὶ ἀποδοῦναι ἑκάστῳ κατ' ἀξίαν τῶν ἔργων αὐτοῦ. ζῶντας νοοῦμεν, τοὺς πιστεύσαντας εἰς Χριστὸν, καὶ τὴν πίστιν ἔργοις ἀγαθοῖς βεβαιώσαντας· νεκροὺς δὲ, τοὺς μὴ πιστεύσαντας, δοκοῦντας δὲ ἔργα ἔχειν χρηστὰ, καὶ πίστιν μὲν ἔχοντας, οὐ μὴν δὲ καὶ διὰ τῶν ἔργων λαμπρυνομένους τῆς πίστεως.

Οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος] ἀθανάτου γὰρ ὄντος αὐτοῦ, ἀτελεύτητος ἔσται καὶ ἡ βασιλεία αὐτοῦ.

Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον τὸ ζωοποιὸν] ταῦτα τὴν φύσιν σημαίνει τοῦ πνεύματος καὶ τὴν σχέσιν αὐτοῦ,

12) Hic videtur excidiſſe verbum, v. c. παύσονται ληροῦντες aut aliud quid tale.

13) Ante καὶ in Codice eſt ſpacium vacuum.

14) Hic ante αὐτοῦ exciderat in Codice vocabulum.

αὐτοῦ, τὴν πρὸς τὸν πατέρα, καὶ τὸ, ἐνυπόςατον αὐτὸ εἶναι [15]). . . . . . τὸ πνεῦμα ἰδίως ἐνταῦθα λεγόμενον ἐπὶ τῆς τȣ̃ ἐκπορευτοῦ ὑποςάσεως. ζωοποιὸν δὲ, ἐπειδὴ καὶ ζωή. ὃ γὰρ ἔχει, τȣ̃το καὶ ἑτέροις χαρίζεται.

Τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον] τοῦτο χαρακτηριςικόν ἐςι τῆς τοῦ πνεύματος ὑποςάσεως. τὴν πρὸς τὸν πατέρα δὲ σχέσιν ἐμφαίνει.

Τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον.] τοῦτο τὴν ὁμοτιμίαν καὶ τὸ ἀξίωμα παριςᾶ. μία γὰρ ἐξȣσία καὶ μία δόξα τῶν τριῶν.

Τὸ λαλῆσαν διὰ τῶν προφητῶν] ἐνέργειαν τȣ̃το σημαίνει τοῦ πνεύματος, ἐξ ἧς [16]) . . . . . . οὐκ ἐνέργειά ἐςι. τὸ γὰρ λαλοῦν, ἐνεργοῦν ἐςιν, οὐκ ἐνέργεια.

Εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποςολικὴν ἐκκλησίαν] οὐ γὰρ εἰς ἄλλην μὲν διὰ τῶν προφητῶν, εἰς ἄλλην δὲ διὰ τῶν ἀποςόλων ἐλάλησε τὸ πνεῦμα τὸ ἅγιον. ἁγίαν δὲ, ὡς ἐκ τοῦ ὄντως καὶ φύσει ἁγίου λαβοῦσαν τὸ ἅγιον κατὰ μέθεξιν. καθολικὴν, ὅτι πάντα τὰ ἔθνη ἐνεκολπώσατο, καὶ οὐχὶ ἕν, καθὰ πάλαι τῶν Ἰȣδαίων. ἀποςολικὴν δὲ, ἀπὸ τῶν ταύτην συςησαμένων ἀποςόλων.

Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν] πίςις καὶ βάπτισμα δύο τρόποι τῆς σωτηρίας ἡμῶν.

Προσδοκῶ ἀνάςασιν νεκρῶν] διὰ τȣ̃ προσδοκᾶν ἀνάςασιν ἀπὸ τῶν μηδὲ ὅλως εἶναι λεγόντων διὰ δὲ τοῦ νεκρῶν, ἀπό τε τῶν τὴν διαδοχὴν τῶν γεννωμένων λεγόντων εἶναι ἀνάςασιν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος, ἀμήν.] διὰ τοῦ ζωὴν τοῦ μέλλοντος αἰῶνος, ἀπὸ τῶν, τοιαύτην λεγόντων ἔσεσθαι ἐκεῖ τὴν ζωὴν, οἵαν κἀνταῦθα, καὶ τοιαῦτα εἶναι τὰ σώματα πληρούμενα καὶ κενούμενα καὶ ἡδονῶν ἐμπαθῶν ἀπολαύοντα. ζωὴ γὰρ τȣ̃ μέλλοντος αἰῶνος, ἐξηλλαγμένη παρὰ ταύτην. τὸ ἀμὴν οἷόν τι ἐπισφράγισμά ἐςιν ἀκροτελεύτιον, ἀντὶ τοῦ, μετὰ πάσης ἀληθείας.

VII.

15) Hic erat rurſus ſpatium vnius vocabuli in Cod.
16) Forte hic excidit φανερὸν, ὅτι.

VII.

*) ΛΕΞΕΙΣ

τῶν ἀποϛολικῶν ἐπιϛολῶν *).

Ἐν τῇ σαρκί· ἐν τοῖς πάθεσι τῆς σαρκός. [1])
Σύμφημι· συνομολογῶ.
Τῷ νόμῳ τοῦ [3]) νοός μου· τῇ συνηθείᾳ τοῦ νοῦ.
Αἰχμαλωτίζων· [4]) εἰς δουλείαν ἄγων.
Κατὰ σάρκα· καθ' ἡδυπάθειαν.
Ἀποκαραδοκία· προσδοκία. [5])
Συνωδίνει· ὀδυνᾶται, ϛενάζει πικρῶς.
Ἀνάθεμα ἔσω· [6]) ἐπάρατος, ἀκοινώνητος.
Πρόθεσις· προαίρεσις. [7])
Ἐμφανής· φανερός. [8])
Φύραμα· ζύμη.
Πώρωσις. ἀμαθεία, σκοτία. [9])
Φιλόϛοργοι· ἀγαπητικοὶ πρὸς φίλους. [10])
Προηγούμενοι· προτιμῶντες.
Τῷ πνεύματι ζέοντες· [11]) ἕτοιμοι πρὸς πνευματικὴν ἐργα-[σίαν.
Εἰκῆ· [12]) μάτην.
Φόρους· [13]) λειτουργίας. [14])
Τέλος· [15]) ἡ λειτουργία.
Μὴ κώμοις [16]) καὶ μέθαις· ᾄσμασιν ἑταιρικοῖς, τοῖς τέσιν [κιθάρα ἢ κύμβαλα καὶ τὰ ὅμοια.
Παραπτώματα· ἁμαρτήματα, ἀνοήματα. [17])
Ἀφωρισμένος· [18]) ἐκλελεγμένος.
Λατρεύω· [19]) δουλεύω.
Διηνεκῶς· [20]) πάντοτε.
Στηριχθῆναι· βεβαιωθῆναι.
Ἀΐδιος· αἰώνιος.
Θεοϛυγεῖς· παρὰ θεῷ μισητός. [21])
Ἀϛόργους· μὴ ἀγαπῶντας τινάς· [22])
Ἀσυνθέτους· μὴ μένοντας ταῖς συνθήκαις. [23])
Τὰ διαφέροντα· τὰ κρείττονα.

Κατηχού-

*) Has glossas edidi ex Cod. Typograph. Synod. num. 27. in 4. Numeri, qui hic leguntur, respondent meis ad has glossas animadversionibus, quas hic in fine huius voluminis adieci.

Κατηχούμενοι· διδασκόμενοι. [24])
Ὀδηγόν· διδάσκαλον. [25])
Τυφλόν· τὸν δι' ἄγνοιαν σφαλλόμενον.
Μόρφωσιν· σχηματισμὸν, εἰκόνα. [26])
Κρίμα· ἀνταπόδοσις θεοῦ. [27])
Ἔνδικον· δίκαιον. [28])
Ὑπόδικος· τιμωρίᾳ ὑπόδικος. [29])
Διαστολή· [30]) διάκρισις, διαίρεσις.
Ἀπολυτρώσεως· ἀφέσεως. [31])
Ἱλαστήριον· [32]) καθάρσιον.
Πάρεσιν· [33]) βλάβην, ζημίαν.
Κοινόν· βδελυκτὸν, ἀκάθαρτον. [34])
Τεράτων· θαυμάτων. [35])
Κατηρτισμένους· [36]) τετελειωμένους.
Εὐλογοῦμεν· [37]) ἐπαινοῦμεν.
Πεφυσιωμένων· [38]) ἐπηρμένων.
Γάλα ὑμᾶς ἐπότισα· [39]) τὴν στοιχειώδη διδασκαλίαν.
Εἰλικρινείας. [40]) καθαρότητος, ἀληθείας.
Φίμωσις· [41]) ἐμπόδιον.
Βραβεῖον· [42]) ἔπαθλον νικητήριον.
Ἱερόθυτον. [43]) δαίμοσι προσενεχθέν.
Ἀπρόσκοποι· [44]) μηδενὶ σκανδάλου ἀφορμὴν παρέχοντες.
Περιβολαίου· [45]) ἱματίου.
Ἔνοχος· [46]) ὑπεύθυνος.
Περπερεύεται· [47]) κατεπαίρεται.
Ἀντιλήψεις· [48]) προστασίαι.
Γένη γλωσσῶν· ἰδιότητες διαλέκτων. [49])
Εὔσημον· εὔδηλον, φανερόν. [50])
Ἐν αἰνίγματι· [51]) ἐν ζητήματι.
Μίαν σαββάτων· [52]) κυριακὴν λέγει, τὴν ἁγίαν ἡμέραν.
Ἐντετυπωμένον. [53]) ἐγκεχαραγμένον.
Μὴ ἐφικνούμενοι· [54]) μὴ καταλαμβάνοντες.
Οὐ κατενάρκησα· [55]) οὐ κατεβάρησα.
Ὁμειρόμενοι· [56]) ἐπιθυμοῦντες.
Σαίνεσθαι· [57]) κινεῖσθαι, σαλεύεσθαι.
Θροεῖσθαι· [58]) ταράσσεσθαι.
Ἐπόρθει· [59]) κατέστρεφεν.
Εἴξαμεν· [60]) ὑπεχωρήσαμεν.
Ἀπηλγηκότες· [61]) ἀπελπίσαντες.
Στοιχεῖα· δ', ἡ γῆ, πῦρ, ὕδωρ καὶ ἀήρ. [62])
Θρησκεία· [63]) δουλεία, σέβας.
Μομφήν· [64]) μέμψιν, ἔχθραν.

Ἐντεύξεις·

Ἐντεύξεις· 65) εὐτυχίας, αἰτήσεις.
Καταςολῇ· 66) ἐνδύματι, ςολισμῷ.
Τυφωθεὶς· 67) ἐπαρθεὶς.
Κατὰ πρόσκλησιν· 68) κατὰ χάριν καὶ προσπάθειαν.
Κνηθόμενοι τὴν ἀκοήν· 69) ζητοῦνται ἀκοῦσαι.
Βοανηργές· 70) υἱοὶ βροντῆς.
Βεελζεβοὺλ· καταπίνων μυῖας.
Ἰσραήλ· 71) νοῦς ὁρῶν τὸν θεόν.
Ἀβιά· 72) πατήρ μου κύριος.
Ἀμήν· πεπιςωμένος 73) γένοιτο.
Ἐμμαοῦς· λαὸν ἀποῤῥίψαντος.
Ἐλισάβετ· θεοῦ μου πλησμονή.
Ἰωάννης· 74) αἶνος ἢ χάρις θεοῦ.
Ἰαῖρος· 75) Φωτισθεῖσαν.
Καίσαρος· κτίσεως ἀρχοντικῆς.
Κυρηναίου· κληρονομοῦντες.
Καπερναούμ· κώμης παράκλησις.
Λευεί· 76) προσκείμενος.
Μάρθα· προσερίζουσα.
Ναούμ· παράκλησις.
Νωέ. 77) ἀνάπαυσις.
Τιβερίου· ὁράσεως αὐτῶν.
Πανδοχείων· 78) ταβερνῶν.
Λαῦρα· 79) πλατεῖα ῥύμη, δι' ἧς ὁ λαὸς παρέρχεται [παρὰ τὸ αὔραν ἔχειν.]
Κύλικας· 80) ποτήρια.
Χυτὴ γῆ· ἡ πᾶσα γῆ, 81) χυτὴ καλεῖται, ἀλλ' ἡ τοῖς [νεκροῖς ἐπιχεομένη.
Δόξα 82) σοί, ὁ θεὸς ἡμῶν, δόξα τῷ διδόντι ἀρχὴν καὶ [τέλος.

VIII.

VIII.

VARIAE [1]) LECTIONES
AD
PLVTARCHI [2]) LIBELLVM
DE PLACITIS PHILOSOPHORVM.

---

ad Lib. I.

Singulis libris in Codice praefixi ſunt indices capitum, vt in edit. Baſil. p. 259. ſeqq. Iſti indices capitum in Cod. ſic differunt ab edit. Baſ. 1542 Lib. I. Cap. 2. ϛοιχεῖα, pro ϛοιχεῖον. Cap. 3. τῶν abeſt. Cap. 6. θεȣ̃ ἔσχον οἱ ἄνθρωποι.

ad pag. 874. verſ. 22. πλουτάρχου] πλȣτάρχȣ φιλοσόφȣ. v. 23. τοῖς φιλοσόφοις] τοῖς omittit Cod. Poſt φιλοσόφοις autem addit φυσικῶν δογμάτων. 32. τεχνῆς ἐπιτηδείου] ἐπιτηδείου τέχνης. 40. διεῖλον] διείλοντο. 43. ὁ τȣ̃το δὲ ζητῶν] ὁ abeſt.

p. 875. v. 2. καὶ πῶς πρoΐςασθαι] πῶς abeſt. 13. ἰδίαν ἔχει] ἔχει ἰδίαν. 15. ἀρχὴν ἔχει τινά.] ἔχει ἀρχὴν τινα. 17. γεννήσεως] γεννέσεως. 18. δὲ τȣτοις] δὴ τȣτοις. ibid. inter ἐςι et καὶ, addit Cod. ἀρχὴ δὲ κινήσεώς ἐςι. 23. ἀριςοτέλης] ἀριςοτέλης. 32. ὃ καλȣ̃μεν] ἣν καλȣ̃μεν. 48. γένεσιν] ita quoque in Cod. at in marg. a prima manu γρ. γνώμην. 52. λέγει οὖν] λέγει γοῦν.

p. 876. v. 14. οὐκ ἄργυρος] ἄργυρος οὐκ. 17. corrige κλαζομένιος. 26. ἄλλων τῶν] ita quoque Cod. ſed a manu recent. vocabulo ἄλλων inſcriptum eſt β, vocabulo autem τῶν α, vt ſit, τῶν ἄλλων. 55. καὶ τῶν δέκα] τὸν pro τῶν dat Cod.

p. 877. v. 2. πληρώσει] πληρώσειεν. 4. πυθαγορικοὶ] πυθαγόρειοι. 5. ἁμετέρα ψυχᾶ] ἡμετέρα ψυχῆ ſupra ſcriptum a man. recent. 6. παγὰν ἀενάου] Rurſus a man.

1) Ex Cod. Sec. XII. membranaceo, qui eſt bibliothecae SS. Synodi in 4. num. 339.

2) Contuli cum edit. Xylandri 1620. Francof. in Fol.

a man. recent. ſupra ſcriptum legitur πηγήν. Pro ἀενάου autem legitur ἀεννάου. 12. ῶ οὐθεὶς] ῶ. οὐδείς. 13. ἕνα μόνον] μόνον omittit Cod. 17. ἡ ἐπιστήμη] ἡ omittit Cod. 29. γῆν γίνεσθαι] γῆ γίνεται. 31. ἀναθυμιώμενον] antea fuerat ἀναθυμιώτερον. 33. ἀρχὴν οὖν] ἀρχῇ οὖν. 47. ἀγκιστροειδῆ] ἀγκιστροειδεῖς. ibid. τριαινοειδῆ] τριαινοειδεῖς. 48. κρικοειδῆ] κρικοειδεῖς.

p. 878. v. 6. ἤδ'] ἢ δ'. 33. σύνοδον τῶν σωμάτων, ordine inuerſo. 40. ἐγέννησαν] ἐγέννησεν. Ibidem αἱ omiſſum eſt ante ἄτομοι. 48. ἔτι περιειλημμένης] ἐμπεριειλημμένης. 52. τὰ μὲν οὖν] οὖν abeſt.

p. 879. v. 2. ὃν δὴ καὶ τὸ πᾶν. 11. ὁ ἄνθρωπος ἐστι] ἐνι, pro ἐστι. 17. γεννηθῆναι] γενηθῆναι, altero ν ſupra ſcripto a manu recentiori. 23. In indice capitis VI. legitur θεῶν, pro θεοῦ. 32. δὲ ὁ κόσμος] γὰρ ὁ κόσμος. mox poſt πάντων deeſt τῶν. 38. διακόπτον. 39. τοῦ ἀέρος] τοῦ abeſt. 42. καὶ τὰ φαινόμενα] καὶ ταῦτα φαινόμενα. 44. ἤδ'] ἢ δ'. 45. ἐπί οἱ] ἐπὶ οἱ. ibid. καὶ σκορπίος] καὶ ἐπ' αὐτῷ σκορπίος. ibid. τοξευτὴς] τοξότης. 46. αἰγοκέρῃ ὑδροχόος] αἰγοκέρω ὑδρηχόος. 47. ἀστερόεντες. 48. τοῦ κόσμου] abſunt a Cod. 53. διόπερ οἱ τὸν περὶ τῶν. 54. ἐξέθηκαν ἡμῖν, ordine inuerſo.

p. 880. v. 3. ἐφ' ἑκάστης] ὑφ' ἑκάστης. 4. μὲν δὴ] δὲ, omiſſo μέν. 7. τεταγμένως. 8. καὶ νύκτα καὶ χειμῶνα καὶ θέρος. 10. ὁ οὐρανὸς] ὁ abeſt. 11. ἡ γῆ] ἡ abeſt. Mox pro οὐρανὸς, legitur ἀήρ. 13. τοὺς ἀστέρας ἀεὶ, ordine immutato. 14. ἥλιον καὶ σελήνην. 18. ἐριννύας, altero ν ſupra ſcripto a manu recentiori. 23. γεννητοῖς, altero ν ſupra notato a manu recentiori. 24. πατέρας συστῆσαι. 27. ἀνθρωπίνως] ἀνθρώπινα. 28. γεννηθέντα et διοσκόρους. 30. καὶ κεκοσμημένον. Syllaba κε, a manu recent. 31. τοῦ νοῦ] τοῦ abeſt. 32. κακῶς] κακῶς. 40. ζᾶνα] Ita quoque Cod. at a manu recentiori priori α inſcriptum eſt η. 41. τὰ περὶ] τὰ abeſt. Mox poſt Εὐριπίδης additum legitur δέ. 44. συνηγόρησεν. 49. ὡς δεῖ ἀεὶ] ἀεὶ abeſt. 52. ἀνῃρήσθω] ἀναιρείσθω. 54. καὶ ῥέξαι δαίμονι πέρι δυνατόν.

p. 881. v. 2. ἑαυτοῦ] ἑαυτόν. 6. νοῦς δὲ αὐτὰ] δὲ abeſt. 14. περὶ τὸ συνεχές. 15. εὐδαιμονίας τε καὶ. 29. φροντίδι τὰ κατὰ] τὰ abeſt. 30. τἀναντία] τὰ ἐναντία. 32. μοιχαλίδος] μοιχάδος. 38. τῶν μὲν ἀρχῶν τὴν μονάδα. 42. μονοφυὲς] αὐτοφυές. 43. αὐτοφυὲς] μονοφυές.

p. 882.

p. 882. v. 3. παραλλάξεις. 4. τὸν δ'] τόν τ'. 7. ἄλλως τέτταρας. 18. πρῶτον] πρώτη. 19. Θάλεως. 21. ὅλȣ] ὅλων. 24. ἀνείδεον] ἀνείδωλον. mox ἄπιον, pro ἄποιον. 25. δεξαμένην. 35. καὶ ἐν ταῖς] ἐν abeſt. 36. Ἀριστοτέλης δὲ εἴδη] δὲ abeſt. 44. καὶ Ἀριστοτέλης] καὶ abeſt. 50. ἐφ' ἑαυτῷ] ἐφ' ἑαυτό. ibid. ἐστὶ τῇ φύσει] εἶναι τῇ φύσει.

p. 883. v. 3. τεσσάρων] τεττάρων. 5. νεύει] νεύσει. 8. τὸ μὲν] ποτὲ μέν. 9. τὸ δὲ] ποτὲ δέ. 10. παλμὸν] τολμόν. ſic. 12. τεσσάρων] τεττάρων. 13. ὅπερ] ὅ. 22. ἀνεκάλουν] ἐκάλουν. 40. Πλάτων τὰ μέν. 45. οἱ ἀπὸ τȣ̃ Θάλεω. 49. ἐντὸς μὲν τοῦ κόσμου.

p. 884. v. 4. συνάπτον] συναπτόν. 9. ὑπὸ σώματος, omiſſo τȣ̃. 18. ἀγένητον, et mox γενητόν. 25. τὴν μὲν] τὰς μέν, at ſupra a manu recentiori τὴν μέν. ibid. αἰσθητὴν] αἰσθητάς, at ſupra a manu recentiori αἰσθητήν. 32. ὅσοι μετὰ] ὅσοι κατά. 35. κατὰ δὲ τὸ ποσόν. 44. καὶ εἱμαρμένην] καὶ abeſt. 49. καὶ φθορὰν καὶ τὴν πληγήν.

p. 885. v. 8. τὸ αἰθέριον σῶμα. 11. καὶ πάγην (ſic) ἐν τοῖς. 17. δεύτερον δὲ τὴν φύσιν. 28. ἀσύστατον] ἄστατον, et mox τόποις, pro τρόποις. 35. φυσικῷ] φυσικῶν.

ad Lib. II.

p. 886. In indice huius libri poſt Πλȣτάρχου addit Codex φιλοσόφȣ, et poſt φιλοσόφοις, legitur φυσικῶν δογμάτων ἐπιτομῆς τὸ β. ἐν ᾧ κεφάλαια τάδε.

Capitum indices, collati cum edit. Baſil. ita differunt. Cap. III. poſt κόσμος additur, καὶ προνοίᾳ διοικούμενος. Cap. VI. ἀπὸ ποίου πρώτου στοιχείου ἤρξατο. Cap. VII. abeſt τȣ̃. Cap. XI. abeſt τȣ̃. Cap. XIII. poſt ἀστέρων additur, πλανητῶν τε καὶ ἀπλανῶν, et ibidem eſt quoque συνέστη, pro συνεστήκασι. Cap. XIX. τῶν ἄστρων, pro τῶν ἀστέρων. Cap. XX. poſt ἡλίȣ additum, καὶ ὅτι δύο καὶ τρεῖς εἰσίν. Cap. XXXI. τῶν ἀποστημάτων. et mox πόσον, pro ὅ. Cap. XXXII. πλανητῶν, pro πλανωμένων, et ante ὁ, additur χρόνος, καὶ τίς.

v. 5. τετελεκώς. mox περὶ ἀρχῶν καὶ στοιχείων καὶ τῶν συνεδρευόντων αὐτοῖς λόγον τρέψομαι πρὸς τὸν ἐπὶ τῶν ἀποτελεσμάτων κ. τ. λ. 13. ἀπ' αὐτοῦ. 15. τὸν τȣ̃ ἡλίου περίδρομον. 16. τȣ̃το πέρας] τȣ̃ πέρατος. 20.

τοῦ κενοῦ τὸν κόσμον. 22. Index capitis II. περὶ σχήματος κόσμου. 24. ὠοειδῆ] ὠνοειδῆ. 27. Post κόσμος addit Cod. in indice Cap. III. καὶ προνοίᾳ διοικούμενος. 38. καὶ Πλάτων] καὶ οἱ Στωϊκοί. mox ὑπὸ θεοῦ τὸν κόσμον. 40. διὰ τὸ] διότι.

p. 887. v. 6. Post ποίου in indice cap. VI. addit, πρῶτα. 15. ἐκ τοῦ πυρός. 18. καὶ γῆς, omisso τῆς. 19. πρῶτον] πρώτων, et supra a manu recentiori πρῶτον. ibid. δεύτερον] δευτέρων, et rursus supra δεύτερον. 21. κύβου] κόσμου. 25. In indice Cap. VII. deest τοῦ. 28. ἀλλήλαις] ἀλλήλας. 31. ἐνίων μὲν κόσμων. 34. αἰθέρα. τῷ πυρί. 35. μεθ' ὃν παθητά. 37. οὐρανίους ἀποδεδόσθαι. 40. πως] τούς. 42. In indice Cap. VIII. pro ἐγκεκλίσθαι, legitur κλιθῆναι. 46. εἰς τὸ μεσημβρινόν. 50. τὰς ἄρτους] τοὺς ἄρκτους. 51. καθ' ὃ] καθό.

p. 888. v. 10. κατὰ τὸν θερινόν. 23. αὐτῶν ὁ μέν. 28. τὸ ἀντίζον, sic. 32. In indice Cap. XIII. post ἀστέρων, additur πλανητῶν καὶ ἀπλανῶν, pro συνεστήκασιν autem legitur συνέστη. 35. ὁ αἰθὴρ] ὁ ἀήρ. 36. ἐξανέθλιψε. 38. ἀναρπάσαντα. 40. κισηρώδη. 47. σβεννυμένους.

p. 889. v. 1. In indice Cap. XIV. legitur σχημάτων, pro σχήματος. 13. Ἄρεως. 23. ἐναντίως. 26. ἐπὶ τὴν γῆν] ὑπὸ τὴν γῆν. 32. ἀναθυμιάσεως. 34. καὶ οἱ Στωϊκοὶ] καὶ abest. 36. In indice Cap. XVIII. pro ἀστέρων legitur, ἄστρων. 52. In indice Cap. XX. post ἡλίου, additur καὶ ὅτι δύο καὶ τρεῖς εἰσίν. 54. ἁρματίου τροχῷ τὴν ἀψῖδα.

p. 890. v. 9. τό, τε δὴ] τότε δή. 11. προσαγορεύομεν] προσονομάζομεν. 18. συμπεριελκομένην] συμπεριπλεκομένην. 21. κισσηροειδὲς] κισηροειδῶς. 26. ἑπτακαιεικοσαπλασίονα] ἑπτακαιεικοσαπλασίω. 37. ἐξωθεῖσθαι] ἐξωσθεῖσθαι. ibid. ἀνταπώσει] ἀνταπόσει. 44. ἡ γῆ] ἡ abest. 52. βλέπεσθαι] κλέπεσθαι. sic. a manu recentiori autem literae κ, inscriptum est β, et post literam π, inserta est litera τ. 53. τὸ τοῦ στομίου τῆς] τὸ et τῆς absunt.

p. 891. v. 1. ἐντελῆ] εὐτελῆ. 2. νεφῶν πυκνώσεων] nihil nisi πυκνωμάτων in Cod. legitur. 3. τῷ δίσκῳ] Post ista addit νεφῶν. 6. κλῖμα] κλίμα. 9. ὑπομένειν] ὑποφαίνειν. 12. περὶ μεγέθους σελήνης. κς.] absunt. 16. ὅμοιος γὰρ εἶναι ἁρματίου. 17. ἀψῖδα. 18. πεπιλημένον] πευπυρωλημένον. sic. 24. In indice Capitis pro σχήματος, habet μεγέθους, et pro κζ. habet κς.

26. ἴσον

26. ἴσον τῷ] ἴσην τῷ. ibid. Post Φωτίζεσθαι incipit Caput XXVII. quod hunc habet indicem, περὶ σχήματος σελήνης. κς. 37. σχήματον] σχήματι. 40. γὰρ ἀέρι —— θολερωτέρῳ] γὰρ Codex prorſus omittit, reliqua autem a manu recentiori leguntur in margine, auctiora vno vocabulo τῷ ab initio. 46. ἀνταύγειαν] ἀνταυγείᾳ. 47. ἐπίΦραξιν] ἐπιΦράξει.

p. 892. v. 3. ταύτην, καθάπερ] αὐτὴν, καθάπερ. 5. περισσοματικόν. 8. γειῶδες] γεῶδες. 12. In indice Cap. XXXI. pro ἀποσήματος, eſt ἀποσημάτων, additum quoque, ante σελήνης, τῆς, et loco ὁ, legitur πόσον. 17. In indice Cap. XXXII. pro ἐνιαυτῶν, eſt ἐνιαυτοῦ, et pro πλανωμένων, eſt πλανητῶν, ante ὁ μέγας autem additum eſt χρόνος καὶ τίς. 20. δυεῖν] δυοῖν. 21. ἰσοδρόμοι] ἰσόδρομοι. 22. Φαύσεως] Φάσεως.

ad Lib. III.

Varietas Codicis ad indices capitum edit. Baſil. haec eſt: Omiſſo τοῖς ante ΦιλοσόΦοις, legitur Φυσικῶν δογμάτων ἐν ἐπιτομῇ τὸ γ'. Cap. I. περὶ τῆς γαλ. Cap. III. ante καὶ, addit τε. Cap. IX. ἡ ταύτης ἐσία καὶ πόσαι. Cap. X. γῆς abeſt. Cap. XIV. et XV. iunguntur ſic, καὶ πόσαι εἰσὶν αὐτῆς ζῶναι. Cap. XVII. συνέστηκεν. Cap. XVIII. πῶς αἱ ἁμπ. Cap. XIX. περὶ ἅλως.

v. 39. In indice Cap. I. poſt περὶ, additur τε. 45. Φαέθοντα] Φαέθοντος.

